# ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α′

## Opening considerations

*Greeting*

**1:1** Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ[i] διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ
ἀδελφός, **2** τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ
Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσιν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ—αὐτῶν τε[j] καὶ ὑμῶν·[k] **3** Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ
Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

*A word of thanksgiving*

**4** Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ
ὑμῖν ἐν Χριστῷ Ἰησοῦ· **5** ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ
γνώσει, **6** καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, **7** ὥστε ὑμᾶς μὴ
ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, **8** ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους, ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ
Κυρίου ἡμῶν, Ἰησοῦ Χριστοῦ.[l] **9** Πιστὸς ὁ Θεός, δι’ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ
Υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.[m]

*A word of exhortation*

**10** Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι
ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. **11** Ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου,
ὑπὸ τῶν Χλόης, ὅτι ἔριδες ἐν ὑμῖν εἰσιν. **12** Λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει·
«Ἐγὼ μέν εἰμι Παύλου,» «Ἐγὼ δὲ Ἀπολλώ,» «Ἐγὼ δὲ Κηφᾶ,» «Ἐγὼ δὲ Χριστοῦ.»
**13** Μεμέρισται ὁ Χριστός; Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν,[n] ἢ εἰς τὸ ὄνομα
Παύλου ἐβαπτίσθητε;

A disclaimer about baptism

**14** Εὐχαριστῶ τῷ Θεῷ[o] ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ Κρίσπον καὶ Γάϊον, **15** ἵνα
μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα.[p] **16** Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον·
λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. **17** Οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν,
ἀλλ’[q] εὐαγγελίζεσθαι—οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

[i] ιησου χριστου **f**$^{35}$ ℵA [98.5%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$B [1.5%] NU
[j] τε **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [3%] NU
[k] υμων **f**$^{35}$ [25%] ¦ ημων 𝔓$^{46}$ℵA,B,C [75%] HF,RP,OC,TR,CP,NU
[l] χριστου **f**$^{35}$ ℵA,C [99.5%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$B [alone]
[m] ιησου χριστου του κυριου ημων *rell* ¦ ~ 34512 CP
[n] υμων *rell* ¦ ημων [15%]
[o] τω θεω **f**$^{35}$ C [97%] HF,RP,OC,TR,CP[NU] ¦ 12 μου A [2%] ¦ --- ℵB [1%]
[p] εβαπτισα **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ εβαπτισθητε 𝔓$^{46}$ℵA,B,C [3%] NU ¦ five further readings [2%]
[q] αλλ *rell* ¦ αλλα 𝔓$^{46}$ℵB [1%] NU

## The nature of the Gospel

*Foolishness to the lost*

**1:18** Ὁ[r] λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστίν, τοῖς δὲ
σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν. **19** Γέγραπται γάρ· «Ἀπολῶ τὴν σοφίαν τῶν
σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.» **20** Ποῦ σοφός; Ποῦ γραμματεύς;
Ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; Οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου
τούτου;[s] **21** Ἐπειδὴ γάρ, ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ, οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας
τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας
**22** —ἐπειδὴ καὶ[t] Ἰουδαῖοι σημεῖον[u] αἰτοῦσιν καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, **23** ἡμεῖς
δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον· Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησιν[v] δὲ
μωρίαν. **24** Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησιν, Χριστὸν Θεοῦ δύναμιν
καὶ Θεοῦ σοφίαν, **25** ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν, καὶ τὸ
ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν.[w]

*God uses 'nothings'*

**26** Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί· ὅτι οὐ πολλοὶ σοφοί, κατὰ σάρκα, οὐ
πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· **27** ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς
ἵνα τοὺς σοφοὺς καταισχύνῃ,[x] καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα
καταισχύνῃ τὰ ἰσχυρά· **28** καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ
Θεός—καὶ[y] τὰ μὴ ὄντα—ἵνα τὰ ὄντα καταργήσῃ· **29** ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ
ἐνώπιον τοῦ Θεοῦ.[z] **30** Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν
σοφία[a] ἀπὸ Θεοῦ—δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις— **31** ἵνα καθὼς
γέγραπται· «Ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω.»

*Not with human wisdom but with God's power*

**2:1** Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ᾽ ὑπεροχὴν λόγου ἢ σοφίας
καταγγέλλων[b] ὑμῖν τὸ μαρτύριον[c] τοῦ Θεοῦ. **2** Οὐ γὰρ ἔκρινα τοῦ[d] εἰδέναι τι[e] ἐν ὑμῖν
εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον. **3** Καί, ἐγὼ[f] ἐν ἀσθενείᾳ καὶ ἐν
φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς. **4** Καί, ὁ λόγος μου καὶ τὸ κήρυγμά

---

[r] ο *rell* ¦ --- CP

[s] τουτου **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [4%] NU

[t] και *rell* ¦ 1 οι [45%] [According to Swanson, but no one else mentions it.]

[u] σημειον **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ σημεια **𝔓**$^{46}$(ℵ)A,B,C [8%] NU

[v] ελλησιν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ εθνεσιν ℵA,B,C [4%] NU

[w] εστιν **f**$^{35}$ C [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [4%] NU ¦ --- **𝔓**$^{46}$ [3%] omit the whole clause (A likely case of homoioteleuton—three words in a row.)

[x] τους σοφους καταισχυνη **f**$^{35}$ [73%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**$^{46}$ℵB,C [12%] NU ¦ --- A [15%] omit a whole line [homoioteleuton]

[y] και **f**$^{35}$ B [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,C [2%] NU

[z] του θεου **f**$^{35}$ **𝔓**$^{46}$ℵA,B [92%] HF,RP,OC,CP,NU ¦ αυτου C [8%] TR

[a] ημιν σοφια **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 (**𝔓**$^{46}$)ℵA,C [4%] NU ¦ ~ 2 ημων B

[b] καταγγελλων *rell* ¦ καταγγελων [4%] CP

[c] μαρτυριον **f**$^{35}$ B (94.1%) HF,RP,OC,TR,CP ¦ μυστηριον **𝔓**$^{46v}$ℵA,C (4.4%) NU ¦ four other readings (1.5%)

[d] του **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU

[e] ειδεναι τι **f**$^{35}$ ℵA [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 B,C [3%] NU

[f] και εγω **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ καγω ℵA,B,C [8%] NU

μου οὐκ ἐν πειθοῖς[g] ἀνθρωπίνης[h] σοφίας λόγοις,[i] ἀλλ᾽ ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, **5** ἵνα ἡ πίστις ὑμῶν[j] μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ᾽ ἐν δυνάμει Θεοῦ.

*Wisdom for the mature*

**6** Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, τῶν καταργουμένων· **7** ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ[k] ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, **8** ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν (εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν). **9** Ἀλλὰ καθὼς γέγραπται· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν[l] καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.» **10** Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψεν[m] διὰ τοῦ Πνεύματος αὐτοῦ·[n] τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ,[o] καὶ τὰ βάθη τοῦ Θεοῦ.

**11** Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν[p] εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. **12** Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα[q] τοῦ κόσμου ἐλάβομεν ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν[r] τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν· **13** ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος Ἁγίου,[s] πνευματικοῖς πνευματικὰ συγκρίνοντες.

**14** Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστιν· καί, οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. **15** Ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν[t] πάντα, αὐτὸς δὲ ὑπ᾽ οὐδενὸς ἀνακρίνεται. **16** «Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;» Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

## The nature of the ministry

*It is not to be sectarian*

**3:1** Καὶ ἐγώ,[u] ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι[v] ὡς πνευματικοῖς, ἀλλ᾽ ὡς σαρκικοῖς,[w] ὡς νηπίοις ἐν Χριστῷ. **2** Γάλα ὑμᾶς ἐπότισα καὶ[x] οὐ βρῶμα, οὔπω γὰρ

---

[g] πειθοις **f**[35] **𝔓**[46]B,C (83.7%) HF,RP,OC,TR,CP[NU] ¦ πειθοι (11.9%) ¦ πιθοις ℵA (3.2%) ¦ six other readings (1.2%)

[h] ανθρωπινης **f**[35] A,C (85.2%) HF,RP,OC,TR,CP ¦ ανθρωπινοις (9.8%) ¦ --- **𝔓**[46]ℵB (5%) NU

[i] λογοις **f**[35] A,B,C (97.5%) HF,RP,OC,TR,CP[NU] ¦ λογος ℵ (0.5%) ¦ λογου (0.5%) ¦ λογων (0.2%) ¦ --- **𝔓**[46] (1.3%)

[j] υμων **f**[35] **𝔓**[46]ℵA,B,C [95%] HF,RP,OC,TR,NU ¦ ημων [5%] CP

[k] σοφιαν θεου **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ ~ 21 **𝔓**[46]ℵA,B,C [12%] NU

[l] ειδεν *rell* ¦ οιδε [12%]

[m] ο θεος απεκαλυψεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 **𝔓**[46]ℵA,B,C [5%] NU

[n] αυτου **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [2%] NU

[o] ερευνα **f**[35] [99%] HF,RP,OC,TR,CP ¦ εραυνα **𝔓**[46]ℵA,B,C [1%] NU

[p] οιδεν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ εγνωκεν **𝔓**[46]ℵA,B,C [4%] NU ¦ three other readings [1%]

[q] πνευμα *rell* ¦ 1 το [20%]

[r] ειδωμεν **f**[35] ℵA,B,C [74%] HF,RP,OC,TR,NU ¦ ιδωμεν **𝔓**[46] [25%] ¦ οιδωμεν CP ¦ ιδομεν [1%]

[s] αγιου **f**[35] 0185 [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B [4%] NU

[t] μεν **f**[35] B [97%] HF,RP,OC,TR,CP ¦ τα **𝔓**[46]A,C [1%] [NU] ¦ 1 τα [2%] ¦ one other variant ¦ ℵ omits the whole verse [homoioteleuton]

[u] και εγω **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ καγω **𝔓**[46]ℵA,B,C [12%] NU

[v] υμιν λαλησαι **f**[35] [80%] HF,RP,OC,CP ¦ ~ 21 **𝔓**[46]ℵA,B,C [20%] TR,NU

[w] σαρκικοις **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ σαρκινοις **𝔓**[46]ℵA,B,C [2%] NU

[x] και **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]ℵA,B,C [7%] NU

ἠδύνασθε.[y] Ἀλλ᾽ οὔτε[z] ἔτι νῦν δύνασθε, **3** ἔτι γὰρ σαρκικοί ἐστε· ὅπου γὰρ ἐν ὑμῖν
ζῆλος καὶ ἔρις καὶ διχοστασίαι,[a] οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;
**4** Ὅταν γὰρ λέγῃ[b] τις, «Ἐγὼ μέν εἰμι Παύλου,» ἕτερος δέ, «Ἐγὼ[c] Ἀπολλώ,» οὐχὶ[d]
σαρκικοί[e] ἐστε;

*God's coworkers*

**5** Τίς[f] οὖν ἐστιν Παῦλος,[g] τίς[h] δὲ[i] Ἀπολλώς,[j] ἀλλ᾽ ἢ[k] διάκονοι δι᾽ ὧν ἐπιστεύσατε,
καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν; **6** Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ᾽[l] ὁ Θεὸς
ηὔξανεν. **7** Ὥστε οὔτε ὁ φυτεύων ἐστίν τι, οὔτε ὁ ποτίζων, ἀλλ᾽ ὁ αὐξάνων Θεός. **8** Ὁ
φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν, ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται[m] κατὰ τὸν
ἴδιον κόπον. **9** Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε.

*There will be an accounting*

**10** Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι, ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον
τέθεικα,[n] ἄλλος δὲ ἐποικοδομεῖ. Ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· **11** θεμέλιον
γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι[o] παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός.[p] **12** Εἰ
δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον[q] χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα,
χόρτον, καλάμην, **13** ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι
ἐν πυρὶ ἀποκαλύπτεται. Καί, ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστιν τὸ πῦρ[r] δοκιμάσει. **14** Εἴ
τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησεν,[s] μισθὸν λήψεται.[t] **15** Εἴ τινος τὸ ἔργον
κατακαήσεται, ζημιωθήσεται· αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός.

---

[y] ηδυνασθε **f**[35] [56%] OC,TR ¦ εδυνασθε **𝔓**[46]אA,B,C [38%] HF,RP,CP,NU ¦ ηδυνασθαι [3%] ¦ εδυνασθαι [3%] (Both of the main readings are imperfect = same meaning; the majority variant being Attic is more likely correct, since why would medieval monks revert to it if the Koine were original.)

[z] ουτε **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ ουδε **𝔓**[46]אA,B,C,0185[v] [15%] NU

[a] και διχοστασιαι **f**[35] **𝔓**[46] (91.4%) HF,RP,OC,TR,CP ¦ --- אA,B,C,048 (4.8%) NU ¦ 1 διχοστασια (3%) ¦ three other readings (0.8%)

[b] λεγη *rell* ¦ λεγει [30%] CP

[c] ετερος δε εγω **f**[35] **𝔓**[46v]אB,C [96%] HF,RP,OC,TR,NU ¦ 1232 [3%] CP ¦ ~ 32 A [1%]

[d] ουχι **f**[35] (96.5%) HF,RP,OC,TR,CP ¦ ουκ **𝔓**[46]אA,B,C,048 (2.7%) NU ¦ ου (0.8%)

[e] σαρκικοι **f**[35] (96%) HF,RP,OC,TR,CP ¦ ανθρωποι **𝔓**[46]אA,B,C,048 (3.3%) NU ¦ three other readings (0.7%)

[f] τις **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ τι אA,B [2%] NU

[g] παυλος **f**[35] (93.8%) HF,RP,OC,TR,CP ¦ απολλως **𝔓**[46]אA,B,C,048 (6.2%) NU

[h] τις **f**[35] **𝔓**[46]C (96.7%) HF,RP,OC,TR,CP ¦ τι אA,B,048 (3.3%) NU

[i] δε **f**[35] (92.3%) HF,RP,OC,TR,CP ¦ 1 εστιν אA,B,C,048 (7.2%) NU ¦ three other readings (0.5%)

[j] απολλως **f**[35] (92%) HF,RP,OC,TR,CP ¦ απολλω (1.8%) ¦ παυλος **𝔓**[46]אA,B,C,048 (6.2%) NU

[k] αλλ η **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [2%] NU ¦ three other variants [1%]

[l] αλλ *rell* ¦ αλλα **𝔓**[46]אA,B [1.5%] NU ¦ ~ ο δε [2%]

[m] λημψεται *rell* ¦ λημψεται **𝔓**[46]אA,B [1%] NU

[n] τεθεικα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ εθηκα **𝔓**[46]אA,B,C [2%] NU

[o] θειναι *rell* ¦ θηναι [15%]

[p] ιησους χριστος **f**[35] **𝔓**[46]אA,B [90%] HF,RP,OC,CP,NU ¦ 1 ο 2 [3%] TR ¦ 2 C [7%]

[q] τουτον **f**[35] [99%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**[46]אA,B,C [1%] NU

[r] πυρ **f**[35] **𝔓**[46]א [97%] HF,RP,OC,TR,CP ¦ 1 αυτο A,B,C [3%] [NU]

[s] επωκοδομησεν **f**[35] C [88%] OC,TR ¦ εποικοδομησεν **𝔓**[46]אA,B [10%] HF,RP,CP,NU ¦ two other variants [2%]

[t] λήψεται *rell* ¦ λημψεται **𝔓**[46v]אA,B,C [1.5%] NU

*We are a temple of God*

**16** Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; **17** Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς.

**18** Μηδεὶς ἑαυτὸν ἐξαπατάτω. Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω ἵνα γένηται σοφός. **19** Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστιν. Γέγραπται γάρ· «Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»· **20** καὶ πάλιν, «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶν μάταιοι.» **21** Ὥστε, μηδεὶς καυχάσθω ἐν ἀνθρώποις, πάντα γὰρ ὑμῶν ἐστιν· **22** εἴτε Παῦλος εἴτε Ἀπολλὼς εἴτε Κηφᾶς, εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος, εἴτε ἐνεστῶτα εἴτε μέλλοντα—πάντα ὑμῶν ἐστιν,[u] **23** ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ.

*As stewards we must be faithful*

**4:1** Οὕτως ἡμᾶς[v] λογιζέσθω ἄνθρωπος· ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ. **2** Ὃ δὲ[w] λοιπὸν ζητεῖται[x] ἐν τοῖς οἰκονόμοις ἵνα πιστός τις εὑρεθῇ. **3** Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ᾽ ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ᾽ οὐδὲ ἐμαυτὸν ἀνακρίνω. **4** Οὐδὲν γὰρ ἐμαυτῷ σύνοιδα, ἀλλ᾽ οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. **5** Ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ[y] Θεοῦ.

No room for boasting

**6** Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ[z] δι᾽ ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ[a] γέγραπται φρονεῖν,[b] ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς μὴ[c] φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. **7** Τίς γάρ σε διακρίνει; Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; **8** Ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν.

*The cost of being an apostle*

**9** Δοκῶ γὰρ ὅτι[d] ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους· ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. **10** Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. **11** Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν, καὶ γυμνιτεύομεν[e] καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν, **12** καὶ κοπιῶμεν,

---

[u] εστιν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [4%] NU
[v] ημας *rell* ¦ υμας [12%]
[w] ο δε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ωδε 𝔓$^{46}$ℵA,B,C [4%] NU
[x] ζητειται **f**$^{35}$ B [70%] HF,RP,OC,TR,CP,NU ¦ ζητειτε 𝔓$^{46}$ℵA,C [29%] ¦ four other readings [1%]
[y] του *rell* ¦ --- [15%]
[z] απολλω **f**$^{35}$ 𝔓$^{46}$C [99.5%] HF,RP,OC,TR,CP ¦ απολλων ℵA,B [0.5%] NU
[a] ο **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ α 𝔓$^{46}$ℵA,B,C [6%] NU
[b] φρονειν **f**$^{35}$ C$^{v}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [3%] NU
[c] μη **f**$^{35}$ [50%] HF ¦ --- 𝔓$^{46}$ℵA,B,C [50%] RP,OC,TR,CP,NU
[d] οτι **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [4%] NU
[e] γυμνιτευομεν **f**$^{35}$ ℵ(B)C [40%] CP,NU ¦ γυμνητευομεν 𝔓$^{46}$ [60%] HF,RP,OC,TR ¦ --- A

ἐργαζόμενοι ταῖς ἰδίαις χερσίν. Λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα,
**13** βλασφημούμενοι[f] παρακαλοῦμεν. Ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν,
πάντων περίψημα, ἕως ἄρτι.

*Children imitate fathers*

**14** Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ’ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ.[g]
**15** Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ’ οὐ πολλοὺς πατέρας· ἐν γὰρ
Χριστῷ Ἰησοῦ, διὰ τοῦ εὐαγγελίου, ἐγὼ ὑμᾶς ἐγέννησα. **16** Παρακαλῶ οὖν ὑμᾶς,
μιμηταί μου γίνεσθε. **17** Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστιν τέκνον μου[h]
ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ,[i]
καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω.

*Not in word but in power*

**18** Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς, ἐφυσιώθησάν τινες. **19** Ἐλεύσομαι δὲ
ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ,[j] καὶ γνώσομαι, οὐ τὸν λόγον τῶν
πεφυσιωμένων,[k] ἀλλὰ τὴν δύναμιν. **20** Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ ἀλλ’ ἐν
δυνάμει. **21** Τί θέλετε; Ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε
πρᾳότητος;[l]

## The nature of the Christian life

*Immorality must be punished*

**5:1** Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν
ὀνομάζεται[m]—ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. **2** Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ
καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ[n] ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας.[o]
**3** Ἐγὼ μὲν γάρ, ὡς[p] ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα, ὡς παρών,
τὸν οὕτως τοῦτο κατεργασάμενον· **4** ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν[q] Ἰησοῦ
Χριστοῦ,[r] συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ δυνάμει τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ,[s] **5** παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς
σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ.[t]

---

[f] βλασφημουμενοι **f**$^{35}$ B [98%] HF,RP,OC,TR,CP ¦ δυσφημουμενοι 𝔓$^{46}$ℵA,C [2%] NU
[g] νουθετω **f**$^{35}$ B [85%] HF,RP,OC,TR,CP ¦ νουθετων ℵA,C [15%] [NU] ¦ νουθετη 𝔓$^{46}$
[h] τεκνον μου **f**$^{35}$ 𝔓$^{46}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [5%] NU
[i] χριστω **f**$^{35}$ A,B (87.8%) HF,RP,OC,TR,CP ¦ 1 ιησου 𝔓$^{46}$ℵC (11.3%) [NU] ¦ κυριου ιησου (0.5%) ¦ two other readings
[j] θεληση *rell* ¦ θελησει [13%]
[k] πεφυσιωμενων *rell* ¦ πεφυσιωμενον [13%]
[l] πραοτητος **f**$^{35}$ ℵ [99%] HF,RP,OC,TR,CP ¦ πραυτητος 𝔓$^{46}$A,B [1%] NU
[m] ονομαζεται **f**$^{35}$ (96.8%) HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C (3.2%) NU
[n] εξαρθη **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ αρθη 𝔓$^{46}$ℵA,B,C [5%] NU
[o] ποιησας **f**$^{35}$ 𝔓$^{46}$B [97%] HF,RP,OC,TR,CP ¦ πραξας ℵA,C [3%] NU
[p] ως **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [4%] NU
[q] ημων **f**$^{35}$ 𝔓$^{46}$B [97%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵA [3%]
[r] χριστου **f**$^{35}$ 𝔓$^{46}$ℵ [96%] HF,RP,OC,TR,CP ¦ --- A,B [4%] NU
[s] χριστου **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [5%] NU ¦ longer omissions [1%]
[t] ιησου **f**$^{35}$ ℵ [88%] HF,RP,OC,TR ¦ ημων 1 χριστου A [10%] lat,syr,cop ¦ 1 χριστου [1%] CP ¦ --- 𝔓$^{46}$B [1%] NU

## *Down with moral 'yeast'*

**6** Οὐ καλὸν τὸ καύχημα ὑμῶν. Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;
**7** Ἐκκαθάρατε οὖν[u] τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε, ἄζυμοι. Καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν[v] ἐτύθη, Χριστός.
**8** Ὥστε ἑορτάζωμεν,[w] μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ᾽ ἐν ἀζύμοις εἱλικρινείας[x] καὶ ἀληθείας.

Avoid contaminators

**9** Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι[y] πόρνοις
**10**—καὶ[z] οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου, ἢ τοῖς πλεονέκταις, ἢ[a] ἅρπαξιν, ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε[b] ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν.
**11** Νυνὶ[c] δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ[d] πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος,[e] ἢ μέθυσος, ἢ ἅρπαξ—τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

**12** Τί γάρ μοι καὶ[f] τοὺς ἔξω κρίνειν; Οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε;
**13** Τοὺς δὲ ἔξω ὁ Θεὸς κρινεῖ,[g] καὶ[h] ἐξαρεῖτε[i] τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

## *Down with lawsuits!*

**6:1** Τολμᾷ τις ὑμῶν πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον κρίνεσθαι ἐπὶ τῶν ἀδίκων, καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων;
**2** Οὐκ[j] οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσιν; Καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων;
**3** Οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; Μήτι γε βιωτικά;
**4** Βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ, τούτους καθίζετε.
**5** Πρὸς ἐντροπὴν ὑμῖν[k] λέγω. Οὕτως οὐκ ἔνι[l] ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς[m] ὃς δυνήσεται διακρῖναι[n] ἀνὰ μέσον τοῦ

---

[u] ουν **f**[35] C,048 [65%] OC,TR ¦ --- 𝔓[46]אA,B [35%] HF,RP,CP,NU (OC is in small print.)
[v] υπερ ημων **f**[35] (91.8%) HF,RP,OC,TR,CP ¦ 1 υμων (4.3%) ¦ --- אA,B,C,048 (3.3%) NU ¦ two other readings (0.5%)
[w] εορταζωμεν *rell* ¦ εορταζομεν A [20%]
[x] εἰλικρινειας **f**[35] [20%] ¦ εἱλικρινειας 𝔓[46]B [55%] HF,RP,OC,TR,CP,NU ¦ ειλικρινιας אC [23%] ¦ ιλικρινιας [1%] ¦ ηλικρινιας A (Since collators have generally not recorded breathing, one can only guess at percentages.)
[y] συναναμιγνυσθαι *rell* ¦ συναναμιγνυσθε [10%]
[z] και **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,C [3%] NU
[a] η **f**[35] 𝔓[46] [96%] HF,RP,OC,TR,CP ¦ και אA,B,C,048 [4%] NU
[b] οφειλετε **f**[35] [82%] HF,RP,OC,TR,CP ¦ ωφειλετε 𝔓[46](א)B,C [13%] NU ¦ ωφειλεται (A) [3%] ¦ οφειλεται [2%]
[c] νυνι **f**[35] אC [55%] HF,TR ¦ νυν 𝔓[46]A,B [45%] RP,OC,CP,NU
[d] ᾖ *rell* ¦ ἡ [50%]
[e] η πλεονεκτης η ειδωλολατρης η λοιδορος *rell* ¦ ~ 561234 CP ¦ ~ 341256 [1%]
[f] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,C [5%] NU
[g] κρινεῖ **f**[35] [80%] HF,RP,CP,NU ¦ κρίνει [20%] OC,TR
[h] και **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,C [5%] NU
[i] εξαρειτε **f**[35] [85%] HF,RP,OC,TR ¦ εξαρατε אA,B,C [4%] NU ¦ εξαιρετε 𝔓[46] [1%] ¦ εξαιρειτε [3%] CP ¦ εξαρειται [6%] ¦ three further spellings [1%]
[j] ουκ **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ η 1 𝔓[46]אA,B,C [8%] NU
[k] υμιν *rell* ¦ υμων [15%]
[l] ενι **f**[35] 𝔓[46]אB,C [96%] HF,RP,OC,CP,NU ¦ εστιν [4%] TR ¦ A omits verses 3-6
[m] σοφος ουδε εις **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ~ ουδεις 1 𝔓[46]אB,C [4%] NU ¦ ~ 231 [2%] ¦ 1 ουδεις [2%] ¦ A omits verses 3-6
[n] διακριναι *rell* ¦ ανακριναι א [20%] ¦ A omits verses 3-6

ἀδελφοῦ αὐτοῦ; **6** Ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων;
**7** Ἤδη μὲν οὖν[o] ὅλως ἥττημα[p] ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ᾽ ἑαυτῶν. Διὰ τί οὐχὶ
μᾶλλον ἀδικεῖσθε; Διὰ τί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; **8** Ἀλλ᾽[q] ὑμεῖς ἀδικεῖτε καὶ
ἀποστερεῖτε, καὶ ταῦτα[r] ἀδελφούς.

### *How to avoid inheriting the Kingdom*

**9** Ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ[s] οὐ κληρονομήσουσιν; Μὴ πλανᾶσθε·
οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοί, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται,
**10** οὔτε πλεονέκται, οὔτε κλέπται,[t] οὔτε[u] μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες
βασιλείαν Θεοῦ οὐ[v] κληρονομήσουσιν. **11** Καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε,
ἀλλ᾽[w] ἡγιάσθητε, ἀλλ᾽[x] ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ[y] καὶ ἐν τῷ
Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

### *Fornication is **bad**!*

**12** Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐκ ἐγὼ
ἐξουσιασθήσομαι ὑπό τινος. **13** Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ
δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ ἀλλὰ τῷ
Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. **14** Ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρεν καὶ ἡμᾶς
ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. **15** Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ
ἐστιν; Ἄρας[z] οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο. **16** Ἢ[a] οὐκ
οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; «Ἔσονται» γάρ, φησίν, «οἱ δύο εἰς
σάρκα μίαν.» **17** Ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν.

**18** Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ[b] ἄνθρωπος ἐκτὸς τοῦ
σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. **19** Ἢ οὐκ οἴδατε ὅτι τὸ
σῶμα[c] ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ
ἐστὲ ἑαυτῶν; **20** Ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν
καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστιν τοῦ Θεοῦ.[d]

### *About marriage*

**7:1** Περὶ δὲ ὧν ἐγράψατέ μοι·[e] καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. **2** Διὰ δὲ
τὰς πορνείας, ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω.

---

[o] ουν **f**[35] A,B,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓[46]א [5%]
[p] ηττημα *rell* ¦ 1 εν TR
[q] αλλ **f**[35] [35%] ¦ αλλα 𝔓[46]אA,B,C [65%] HF,RP,OC,TR,CP,NU
[r] ταυτα **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ τουτο 𝔓[46]אA,B,C [5%] NU ¦ τοτε [2%]
[s] βασιλειαν θεου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓[46]אA(B)C [3%] NU
[t] πλεονεκται ουτε κλεπται **f**[35] [80%] HF,RP,OC,CP ¦ ~ 32 (ουδε 𝔓[46]) 1 𝔓[46]אA,B,C [15%] TR,NU ¦ ~ 31 [5%]
[u] ουτε **f**[35] B [94%] HF,RP,OC,TR,CP ¦ ου אA,C [6%] NU ¦ ουδε 𝔓[46]
[v] ου **f**[35] (85.9%) HF,RP,OC,TR ¦ --- 𝔓[46]אA,B,C (13.6%) CP,NU ¦ one other reading (0.5%)
[w] αλλ **f**[35] [35%] ¦ αλλα *rell*
[x] αλλ **f**[35] C [77%] HF,RP,TR,CP ¦ αλλα 𝔓[46]אA,B [23%] OC,NU
[y] ιησου **f**[35] A [87%] HF,RP,OC,TR,CP ¦ 1 χριστου 𝔓[46]א [3%] NU ¦ ημων 1 χριστου B [10%]
[z] αρας **f**[35] 𝔓[46]אA,B,C [70%] HF,RP,OC,TR,CP,NU ¦ αρα [30%]
[a] η **f**[35] אA,B,C [60%] OC,TR[NU] ¦ --- 𝔓[46] [40%] HF,RP,CP
[b] ποιηση *rell* ¦ ποιησει [13%]
[c] το σωμα **f**[35] 𝔓[46]אB,C [65%] HF,RP,OC,TR,CP,NU ¦ τα σωματα [35%]
[d] και εν τω πνευματι υμων ατινα εστιν του θεου **f**[35] (96.3%) HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,C (3.7%) NU
[e] μοι **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אB,C [3%] NU

**3** Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν[f] ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί. **4** Ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ'[g] ὁ ἀνήρ· ὁμοίως[h] δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ'[i] ἡ γυνή. **5** Μὴ ἀποστερεῖτε ἀλλήλους εἰ μήτι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε[j] τῇ νηστείᾳ καὶ τῇ[k] προσευχῇ, καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε[l] ἵνα μὴ πειράζῃ[m] ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

**6** Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν **7** (θέλω γὰρ[n] πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν· ἀλλ'[o] ἕκαστος ἴδιον χάρισμα ἔχει[p] ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς[q] δὲ οὕτως). **8** Λέγω δὲ τοῖς[r] ἀγάμοις καὶ ταῖς χήραις· καλὸν αὐτοῖς ἐστιν[s] ἐὰν μείνωσιν ὡς κἀγώ· **9** εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον[t] γάρ ἐστιν γαμῆσαι ἢ πυροῦσθαι.

### Mixed marriages

**10** Τοῖς δὲ γεγαμηκόσιν παραγγέλλω[u] (οὐκ ἐγὼ ἀλλ'[v] ὁ Κύριος)· γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι **11** (ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω), καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. **12** Τοῖς δὲ λοιποῖς ἐγὼ λέγω[w] (οὐχ ὁ Κύριος)· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον καὶ αὐτὴ[x] συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν. **13** Καὶ γυνὴ ἥτις[y] ἔχει ἄνδρα ἄπιστον καὶ αὐτὸς[z] συνευδοκεῖ οἰκεῖν μετ' αὐτῆς, μὴ ἀφιέτω αὐτόν.[a] **14** Ἡγίασται γὰρ ὁ ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί·[b] ἐπεὶ ἄρα τὰ τέκνα ὑμῶν ἀκάθαρτά ἐστιν, νῦν δὲ ἅγιά ἐστιν. **15** Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω—οὐ δεδούλωται ὁ ἀδελφὸς ἢ

---

[f] οφειλομενην ευνοιαν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ οφειλην **𝔓**$^{46v}$ℵA,B,C [4%] NU
[g] αλλ *rell* ¦ αλλα ℵA,B,C [1%] NU
[h] ομοιως *rell* ¦ ομοιος CP
[i] αλλ *rell* ¦ αλλα **𝔓**$^{46}$ℵA,B,C [2%] NU
[j] σχολαζητε **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ σχολασητε **𝔓**$^{46}$ℵA,B,C [4%] NU ¦ σχολασηται [1%] ¦ σχολαζηται [1%]
[k] νηστεια και τη **f**$^{35}$ (92.4%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C (6.7%) NU [homoioteleuton] ¦ ~ (0.8%) ('prayer' before 'fasting')
[l] συνερχεσθε **f**$^{35}$ **𝔓**$^{46}$ [56%] ¦ συνερχησθε [40%] HF,RP,OC,TR,CP ¦ ητε ℵA,B,C [4%] NU
[m] πειραζη *rell* ¦ πειραζει [15%]
[n] γαρ **f**$^{35}$ B [95%] HF,RP,OC,TR,CP ¦ δε **𝔓**$^{46}$ℵA,C [5%] NU
[o] αλλ *rell* ¦ αλλα **𝔓**$^{46}$B,C [2%] NU
[p] χαρισμα εχει **f**$^{35}$ **𝔓**$^{46}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [4%] NU ¦ 1 C
[q] ος μεν ουτως ος **f**$^{35}$ **𝔓**$^{46}$ (95.5%) HF,RP,OC,TR,CP ¦ ο 23 ο ℵA,B,C (3.9%) NU ¦ four other readings (0.7%)
[r] τοις *rell* ¦ ταις [15%]
[s] εστιν **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [6%] NU
[t] κρεισσον **f**$^{35}$ A,C [97%] HF,RP,OC,TR,CP ¦ κρειττον (**𝔓**$^{46}$ℵ)B [2%] NU ¦ κρειτγον [1%]
[u] παραγγελλω *rell* ¦ παραγγελω [5%] CP
[v] αλλ *rell* ¦ αλλα ℵA,B [1%] NU
[w] εγω λεγω **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B,C [6%] NU
[x] αὑτη *rell* ¦ αὐτη NU
[y] ητις **f**$^{35}$ A,B [90%] HF,RP,TR,CP ¦ ει τις **𝔓**$^{46}$ℵ [10%] OC,NU
[z] αυτος **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ ουτος **𝔓**$^{46}$ℵA,B,C [3%] NU
[a] αυτον **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ τον ανδρα **𝔓**$^{46}$A,B,C [3%] NU ¦ 1 ανδρα ℵ
[b] ανδρι **f**$^{35}$ (94.9%) HF,RP,OC,TR,CP ¦ αδελφω **𝔓**$^{46}$ℵA,B,C (3.5%) NU ¦ 1 πιστω (0.8%) ¦ two other readings (0.7%)

ἡ ἀδελφὴ ἐν τοῖς τοιούτοις, ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς[c] ὁ Θεός. **16** Τί γὰρ οἶδας,
γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;

### *About other situations*

**17** Εἰ μή, ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός,[d] ἕκαστον ὡς κέκληκεν ὁ Κύριος,[e] οὕτως
περιπατείτω (καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις[f] διατάσσομαι). **18** Περιτετμημένος
τις ἐκλήθη; Μὴ ἐπισπάσθω. Ἐν ἀκροβυστίᾳ τις ἐκλήθη;[g] Μὴ περιτεμνέσθω. **19** Ἡ
περιτομὴ οὐδέν ἐστιν καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ.
**20** Ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη, ἐν ταύτῃ μενέτω. **21** Δοῦλος ἐκλήθης; Μή σοι
μελέτω, ἀλλ᾽ εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι, μᾶλλον χρῆσαι. **22** Ὁ γὰρ ἐν Κυρίῳ
κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν. Ὁμοίως καὶ[h] ὁ ἐλεύθερος κληθεὶς δοῦλός
ἐστιν Χριστοῦ. **23** Τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. **24** Ἕκαστος ἐν
ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ[i] Θεῷ.

### *About virgins*

**25** Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς
ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. **26** Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχειν διὰ τὴν
ἐνεστῶσαν ἀνάγκην—ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι· **27** Δέδεσαι γυναικί; Μὴ
ζήτει λύσιν. Λέλυσαι ἀπὸ γυναικός; Μὴ ζήτει γυναῖκα. **28** Ἐὰν δὲ καὶ γήμῃς,[j] οὐχ
ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτεν. Θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ
τοιοῦτοι, ἐγὼ δὲ ὑμῶν φείδομαι.

### A sense of urgency

**29** Τοῦτο δέ φημι, ἀδελφοί,[k] ὁ καιρὸς συνεσταλμένος· τὸ λοιπόν ἐστιν[l] ἵνα καὶ οἱ
ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν, **30** καὶ οἱ κλαίοντες ὡς μὴ κλαίοντες, καὶ οἱ
χαίροντες ὡς μὴ χαίροντες, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες, **31** καὶ οἱ χρώμενοι
τῷ κόσμῳ[m] τούτῳ[n] ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου.

### *Marriage again*

**32** Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. Ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου· πῶς ἀρέσει[o]
τῷ Κυρίῳ. **33** Ὁ δὲ[p] γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου· πῶς ἀρέσει[q] τῇ γυναικί.

---

[c] ημας **f**$^{35}$ 𝔓$^{46}$B [96%] HF,RP,OC,TR,CP ¦ υμας אA,C [4%] NU

[d] εμερισεν ο θεος **f**$^{35}$ (87.6%) HF,RP,OC,TR,CP ¦ ~ 231 A (4.9%) ¦ 12 κυριος 𝔓$^{46}$C (5.1%) NU ¦ 1 κυριος (1.2%) ¦ μεμερικεν 2 κυριος אB (0.7%) ¦ three other readings (0.5%)

[e] θεος εκαστον ως κεκληκεν ο κυριος **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ ~ 623451 𝔓$^{46}$אA,B,C [7%] NU

[f] ταις εκκλησιαις πασαις **f**$^{35}$ 𝔓$^{46}$A,B,C [95%] HF,RP,OC,TR,NU ¦ ~ 312 א [5%] CP

[g] τις εκληθη **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ κεκληται 1 𝔓$^{46}$אA,B [4%] NU ¦ 1 κεκληται 𝔓$^{15}$ [1%]

[h] και **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{15(46)}$אA,B [3%] NU ¦ δε [1%] ¦ δε 1 [3%]

[i] παρα **f**$^{35}$ 𝔓$^{46}$אB [93%] HF,RP,CP,NU ¦ 1 τω A [7%] OC,TR

[j] γημης **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ γαμησης 𝔓$^{46}$אB [3%] NU ¦ γαμηση A ¦ λαβης γυναικα [1%]

[k] αδελφοι *rell* ¦ 1 οτι [12%]

[l] το λοιπον εστιν **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ ~ 312 𝔓$^{46}$אA,B [5%] NU ¦ ~ 32 𝔓$^{15}$ [1%] ¦ three other readings [1%]

[m] τω κοσμω **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ τον κοσμον 𝔓$^{15,46}$אA,B [2%] NU

[n] τουτω *rell* ¦ --- 𝔓$^{15,46}$אA,B [1%] NU ¦ τουτον [1%]

[o] αρεσει **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ αρεση 𝔓$^{46}$אA,B [4%] NU

[p] δε *rell* ¦ --- [2%] CP

[q] αρεσει **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ αρεση 𝔓$^{46}$אA,B [4%] NU

**34** Μεμέρισται καὶ[r] ἡ γυνὴ καὶ ἡ παρθένος. Ἡ ἄγαμος[s] μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ[t] σώματι καὶ[u] πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου· πῶς ἀρέσει[v] τῷ ἀνδρί. **35** Τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον[w] λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον, καὶ εὐπρόσεδρον[x] τῷ Κυρίῳ ἀπερισπάστως.

**36** Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν. **37** Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ,[y] μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ[z] τοῦ[a] τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ.[b] **38** Ὥστε, καὶ ὁ ἐκγαμίζων[c] καλῶς[d] ποιεῖ,[e] ὁ δὲ[f] μὴ ἐκγαμίζων[g] κρεῖσσον ποιεῖ.[h]

**39** Γυνὴ δέδεται νόμῳ[i] ἐφ᾽ ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς, ἐὰν δὲ καὶ[j] κοιμηθῇ ὁ ἀνήρ,[k] ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι—μόνον ἐν Κυρίῳ. **40** Μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτως μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην—δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν.

### *About things offered to idols*

**8:1** Περὶ δὲ τῶν εἰδωλοθύτων· οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. **2** Εἰ δέ[l] τις δοκεῖ εἰδέναι[m] τι, οὐδέπω οὐδὲν ἔγνωκεν[n] καθὼς δεῖ γνῶναι. **3** Εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ.

---

[r] μεμερισται και $\mathbf{f}^{35}$ [88%] HF,RP,OC,CP ¦ 212 $\mathfrak{P}^{15,46}$ℵA,B [7%] NU ¦ 1 [5%] TR (OC is in small print.)

[s] και η παρθενος η αγαμος $\mathbf{f}^{35}$ (93.4%) HF,RP,OC,TR,CP ¦ 4512345 $\mathfrak{P}^{46}$ℵA (2.4%) ¦ ~ 45123 $\mathfrak{P}^{15}$B (3.7%) NU ¦ three other readings (0.5%)

[t] και $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$A [95%] HF,RP,OC,TR,CP ¦ 1 τω ℵB [4%] NU ¦ 1 το [1%]

[u] και $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ 1 τω $\mathfrak{P}^{46}$ℵA,B [6%] NU

[v] αρεσει $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ αρεση $\mathfrak{P}^{46}$ℵA,B [2%] NU

[w] συμφερον $\mathbf{f}^{35}$ [98.5%] HF,RP,OC,TR,CP ¦ συμφορον $\mathfrak{P}^{15,46}$ℵA,B [1.5%] NU

[x] ευπροσεδρον $\mathbf{f}^{35}$ [85%] HF,RP,TR ¦ ευπαρεδρον $\mathfrak{P}^{46}$ℵA,B [15%] OC,CP,NU

[y] εδραιος εν τη καρδια $\mathbf{f}^{35}$ [91%] HF,RP,OC,TR,CP ¦ ~ 234 αυτου 1 ℵA,B [4%] NU ¦ ~ 234 αυτου $\mathfrak{P}^{46v}$ [1%] ¦ 1234 αυτου [3%]

[z] καρδια αυτου $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ιδια 1 ℵA,B [3%] NU ¦ 1 [2%]

[a] του $\mathbf{f}^{35}$ [75%] HF,RP,OC,TR,CP ¦ --- (ℵ)A,B [20%] NU ¦ το [5%]

[b] ποιει $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ ποιησει $\mathfrak{P}^{46}$ℵA,B [2%] NU

[c] εκγαμιζων $\mathbf{f}^{35}$ (72.2%) HF,RP,OC,TR,CP ¦ γαμιζων $\mathfrak{P}^{(15)46}$ℵ(A)B (12.8%) NU ¦ εγγαμιζων (5.6%) ¦ long omissions (9.4%)

[d] καλως $\mathbf{f}^{35}$ (83.1%) HF,RP,OC,TR,CP ¦ την εαυτου παρθενον 1 $\mathfrak{P}^{15}$ℵA (6.8%) NU ¦ την παρθενον εαυτου 1 B (0.3%) ¦ την παρθενον αυτου 1 $\mathfrak{P}^{46}$ (0.3%) ¦ long omissions (9.4%)

[e] ποιει *rell* ¦ ποιη CP ¦ ποιησει $\mathfrak{P}^{15,46}$B [1.5%]

[f] ο δε $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ και ο $\mathfrak{P}^{46}$ℵA,B [5%] NU

[g] εκγαμιζων $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ γαμιζων $\mathfrak{P}^{46}$ℵA,B [5%] NU

[h] ποιει $\mathbf{f}^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ ποιησει $\mathfrak{P}^{46}$ℵA,B [3%] NU

[i] νομω $\mathbf{f}^{35}$ (96.8%) HF,RP,OC,TR,CP ¦ --- $\mathfrak{P}^{15,46}$ℵA,B (2.6%) NU ¦ γαμω (0.7%)

[j] και $\mathbf{f}^{35}$ [80%] HF,RP,CP ¦ --- $\mathfrak{P}^{46}$ℵA,B [20%] OC,TR,NU

[k] ανηρ $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ℵA,B [88%] HF,RP,CP,NU ¦ 1 αυτης [12%] OC,TR

[l] δε $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ --- $\mathfrak{P}^{46}$ℵA,B [5%] NU

[m] ειδεναι $\mathbf{f}^{35}$ [86%] HF,RP,OC,TR,CP ¦ εγνωκεναι $\mathfrak{P}^{46}$ℵA,B [4%] NU ¦ ειναι [10%]

[n] ουδεπω ουδεν εγνωκεν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ουπω εγνω $\mathfrak{P}^{46}$ℵA,B [3%] NU ¦ 1 εγνω [1%] ¦ three other readings [1%]

Idols are really nothing

**4** Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ,
καὶ ὅτι οὐδεὶς Θεὸς ἕτερος[o] εἰ μὴ εἷς. **5** Καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι ‹θεοί,› εἴτε ἐν
οὐρανῷ εἴτε ἐπὶ τῆς[p] γῆς (ὥσπερ εἰσὶν ‹θεοὶ› πολλοὶ καὶ ‹κύριοι› πολλοί), **6** ἀλλ᾽ ἡμῖν
εἷς Θεός, ὁ Πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐτόν, καὶ εἷς Κύριος Ἰησοῦς
Χριστός, δι᾽ οὗ τὰ πάντα καὶ ἡμεῖς δι᾽ αὐτοῦ.

Respect the other's conscience

**7** Ἀλλ᾽ οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δέ, τῇ συνειδήσει[q] τοῦ εἰδώλου, ἕως ἄρτι[r] ὡς
εἰδωλόθυτον ἐσθίουσιν, καὶ ἡ συνείδησις αὐτῶν, ἀσθενὴς οὖσα, μολύνεται. **8** Βρῶμα
δὲ ἡμᾶς[s] οὐ παρίστησιν[t] τῷ Θεῷ· οὔτε γὰρ[u] ἐὰν φάγωμεν περισσεύομεν,[v] οὔτε ἐὰν μὴ
φάγωμεν ὑστερούμεθα.[w]

**9** Βλέπετε δὲ μή πως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν.[x]
**10** Ἐὰν γάρ τις ἴδῃ σε τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ[y] κατακείμενον, οὐχὶ ἡ
συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν;
**11** Καὶ ἀπολεῖται[z] ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει,[a] δι᾽ ὃν Χριστὸς ἀπέθανεν.
**12** Οὕτως δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν
ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. **13** Διόπερ, εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν
μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

*The 'rights' of an apostle*

**9:1** Οὐκ εἰμὶ ἀπόστολος; Οὐκ εἰμὶ ἐλεύθερος;[b] Οὐχὶ Ἰησοῦν Χριστὸν[c] τὸν Κύριον
ἡμῶν ἑώρακα;[d] Οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; **2** Εἰ ἄλλοις οὐκ εἰμὶ
ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι, ἡ γὰρ σφραγὶς τῆς ἐμῆς[e] ἀποστολῆς ὑμεῖς ἐστε ἐν
Κυρίῳ. **3** Ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστίν·[f] **4** Μὴ οὐκ ἔχομεν

---

[o] ετερος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B [5%] NU
[p] της **f**35 [60%] OC,TR,CP ¦ --- 𝔓46ℵA,B [40%] HF,RP,NU
[q] συνειδησει **f**35 (95.5%) HF,RP,OC,TR,CP ¦ συνηθεια (ℵ)A,B (4.5%) NU
[r] του ειδωλου εως αρτι **f**35 A [94%] HF,RP,OC,TR,CP ¦ ~ 3412 ℵB [3%] NU ¦ 1 ειδωλοθυτου 34 [3%]
[s] ημας *rell* ¦ υμας ℵ [15%]
[t] παριστησιν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ παραστησει 𝔓46ℵA,B [3%] NU
[u] γαρ **f**35 (95.4%) HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B (3.9%) NU ¦ long omission (0.7%)
[v] περισσευομεν **f**35 𝔓46ℵA (90.4%) HF,RP,OC,TR,NU ¦ περισσευωμεν (4.3%) CP ¦ περισσευομεθα B (3.6%) ¦ --- (1%) ¦ long omission (0.7%)
[w] φαγωμεν περισσευομεν ουτε εαν μη φαγωμεν υστερουμεθα **f**35 ℵ (94.9%) HF,RP,OC,TR,CP ¦ ~ 5673412 𝔓46B (2.6%) NU ¦ ~ 5123467 A (0.3%) ¦ omit various words (1.5%) ¦ long omission (0.7%)
[x] ασθενουσιν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ ασθενεσιν 𝔓46ℵA,B [4%] NU
[y] ειδωλειω *rell* ¦ ειδωλιω (ℵA)B [15%]
[z] και απολειται **f**35 (93%) HF,RP,OC,TR,CP ¦ 1 απολλυται (4.5%) ¦ απολλυται γαρ 𝔓46ℵB (0.9%) NU ¦ απολλυται ουν A (0.3%) ¦ four conflations (1.4%)
[a] αδελφος επι τη ση γνωσει **f**35 (94.5%) HF,RP,OC,TR,CP ¦ 1 εν 345 (3.9%) ¦ ~ εν 34 (−ση B) 5 ο 1 𝔓46ℵA(B) (1.5%) NU
[b] αποστολος ουκ ειμι ελευθερος **f**35 (93.2%) HF,RP,OC,TR,CP ¦ ~ 4231 𝔓46ℵA,B (5.8%) NU ¦ 234 (0.5%) ¦ ~ 231 (0.5%)
[c] χριστον **f**35 [95%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B [5%] NU
[d] εωρακα **f**35 𝔓46 [98%] HF,RP,OC,TR,CP,UBS ¦ εορακα ℵB [2%] N-A
[e] της εμης **f**35 𝔓46 [98.5%] HF,RP,OC,TR,CP ¦ ~ μου 1 ℵB [1.5%] NU ¦ A omits the whole verse [homoioteleuton]
[f] αυτη εστιν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [3%] NU

ἐξουσίαν φαγεῖν καὶ πιεῖν;[g] **5** Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν,
ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; **6** Ἢ μόνος ἐγὼ
καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ[h] μὴ ἐργάζεσθαι; **7** Τίς στρατεύεται ἰδίοις
ὀψωνίοις ποτέ; Τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ[i] αὐτοῦ οὐκ ἐσθίει; Ἢ[j] τίς
ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; **8** Μὴ κατὰ ἄνθρωπον
ταῦτα λαλῶ;[k] Ἢ οὐχὶ[l] καὶ ὁ νόμος ταῦτα[m] λέγει; **9** Ἐν γὰρ τῷ Μωσέως[n] νόμῳ[o]
γέγραπται· «Οὐ φιμώσεις[p] βοῦν ἀλοῶντα.»[q] Μὴ τῶν βοῶν μέλει[r] τῷ Θεῷ, **10** ἢ δι᾽
ἡμᾶς πάντως λέγει; Δι᾽ ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ᾽ ἐλπίδι ὀφείλει[s] ὁ[t] ἀροτριῶν
ἀροτριᾶν, καὶ ὁ ἁλοῶν[u] τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ᾽ ἐλπίδι.[v]

### To live from the Gospel

**11** Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ
θερίσομεν;[w] **12** Εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν[x] μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ᾽ οὐκ
ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν ἵνα μὴ ἐγκοπήν τινα[y] δῶμεν τῷ
εὐαγγελίῳ τοῦ Χριστοῦ. **13** Οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι[z] ἐκ τοῦ ἱεροῦ
ἐσθίουσιν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες[a] τῷ θυσιαστηρίῳ συμμερίζονται;
**14** Οὕτως καὶ ὁ Κύριος διέταξεν τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ
εὐαγγελίου ζῆν.

### To forego a right

**15** Ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην[b] τούτων, οὐκ ἔγραψα δὲ ταῦτα ἵνα οὕτως γένηται ἐν
ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ[c] **16**—ἐὰν

---

[g] πιειν $\mathbf{f}^{35}$ A [97.5%] HF,RP,OC,TR,CP ¦ πειν $\mathfrak{P}^{46}$B,NU ¦ ποιειν [1%] ¦ πιν ℵ [1%]
[h] του $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ --- $\mathfrak{P}^{46}$ℵA,B [5%] NU
[i] εκ του καρπου $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ [97%] HF,RP,OC,TR,CP ¦ τον καρπον ℵA,B,C [3%] NU
[j] η *rell* ¦ --- B [15%]
[k] λαλω $\mathbf{f}^{35}$ ℵA,B,C [95%] HF,RP,OC,TR,NU ¦ λεγω $\mathfrak{P}^{46}$ [5%] CP
[l] ουχι $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- $\mathfrak{P}^{46}$ℵA,B,C [4%] NU
[m] ταυτα $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 1 ου $\mathfrak{P}^{46}$ℵA,B,C [4%] NU
[n] μωσεως $\mathbf{f}^{35}$ [73%] OC ¦ μωυσεως ℵB,C [20%] HF,RP,TR,CP,NU ¦ μωυσεος [5%] ¦ μωσεος [2%]
[o] μωσεως νομω $\mathbf{f}^{35}$ ℵA,B,C [90%] HF,RP,OC,TR,NU ¦ ~ 21 [10%] (CP) ¦ 2 $\mathfrak{P}^{46}$
[p] φιμωσεις $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ κημωσεις B [1%] NU
[q] ἀλοωντα $\mathbf{f}^{35}$ [30%] ¦ ἁλοωντα *rell* (The noun equivalent is everywhere spelled with rough breathing; since collators have generally not registered aspiration, it is hard to know what the witness of the mass of minuscules may be.)
[r] μελει *rell* ¦ μελλει [22%] ¦ μελη [3%]
[s] επ ελπιδι οφελει $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B,C [5%] NU ¦ οφειλει εφ ελπιζει $\mathfrak{P}^{46}$
[t] ο *rell* ¦ --- CP
[u] ἀλοων $\mathbf{f}^{35}$ [30%] ¦ ἁλοων *rell*
[v] της ελπιδος αυτου μετεχειν επ ελπιδι $\mathbf{f}^{35}$ (93.5%) HF,RP,OC,TR,CP ¦ 1234 (1.7%) ¦ ~ 5 (εφ A) 6 του 4 ℵ(A)B,C (3.7%) NU ¦ four other readings $\mathfrak{P}^{46}$ (1%)
[w] θερισομεν *rell* ¦ θερισωμεν [9%] CP
[x] εξουσιας υμων $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 $\mathfrak{P}^{46}$ℵA,B,C [4%] NU
[y] εγκοπην τινα $\mathbf{f}^{35}$ [67%] HF,RP,OC,TR,CP ¦ εκκοπην 2 [30%] ¦ ~ 21 A(B)C [2%] NU ¦ ~ 2 εκκοπην ℵ [1%] ¦ one other reading
[z] εργαζομενοι $\mathbf{f}^{35}$ $\mathfrak{P}^{46}$A,C [98%] HF,RP,OC,TR,CP ¦ 1 τα ℵB [2%] [NU]
[a] προσεδρευοντες $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ παρεδρευοντες $\mathfrak{P}^{46}$ℵA,B,C [4%] NU
[b] ουδενι εχρησαμην $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ου κεχρημαι ουδενι $\mathfrak{P}^{46}$ℵA,B,C [4%] NU
[c] ινα τις κενωση $\mathbf{f}^{35}$ [89%] HF,RP,OC,TR,CP ¦ 12 κενωσει C [8%] ¦ ουδεις κενωσει $\mathfrak{P}^{46}$(ℵ)B [1.5%] NU ¦ ουθεις μη καινωσει A ¦ 12 ου μη 3 [1%]

γὰρ εὐαγγελίζωμαι,[d] οὐκ ἔστιν μοι καύχημα, ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δὲ[e] μοί
ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι.[f] **17** (Εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων,
οἰκονομίαν πεπίστευμαι.) **18** Τίς οὖν μοί ἐστιν[g] ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος
ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ,[h] εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ
μου ἐν τῷ εὐαγγελίῳ.

All things to all men

**19** Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας
κερδήσω· **20** Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς
ὑπὸ νόμον ὡς ὑπὸ νόμον,[i] ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· **21** τοῖς ἀνόμοις ὡς ἄνομος
(μὴ ὢν ἄνομος Θεῷ[j] ἀλλ’ ἔννομος Χριστῷ),[k] ἵνα κερδήσω ἀνόμους·[l] **22** ἐγενόμην τοῖς
ἀσθενέσιν ὡς[m] ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. Τοῖς πᾶσιν γέγονα τὰ[n] πάντα,
ἵνα πάντως τινὰς σώσω. **23** Τοῦτο[o] δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς[p]
αὐτοῦ γένωμαι.

Even an apostle can be rejected

**24** Οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει
τὸ βραβεῖον; Οὕτως τρέχετε ἵνα καταλάβητε. **25** Πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα
ἐγκρατεύεται—ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον.
**26** Ἐγὼ τοίνυν οὕτως τρέχω, ὡς οὐκ ἀδήλως· οὕτως πυκτεύω, ὡς οὐκ ἀέρα δαίρων.[q]
**27** Ἀλλ’[r] ὑπωπιάζω[s] μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς
ἀδόκιμος γένωμαι.

### *Learn from Israel*

**10:1** Οὐ θέλω δὲ[t] ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν
νεφέλην ἦσαν καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον **2**—καὶ πάντες εἰς τὸν Μωϋσῆν[u]
ἐβαπτίσαντο[v] ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ—**3** καὶ πάντες τὸ αὐτὸ βρῶμα

---

[d] ευαγγελιζωμαι *rell* ¦ ευαγγελζομαι [20%] ¦ two other readings [1%]
[e] δε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ γαρ 𝔓46ℵA,B,C [5%] NU
[f] ευαγγελιζωμαι **f**35 𝔓46ℵA [79%] HF,RP,OC,TR,CP ¦ ευαγγελισωμαι B,C [1%] [NU] ¦ ευαγγελζομαι [20%]
[g] μοι εστιν **f**35 𝔓46B (80.7%) HF,RP,OC,TR,CP ¦ μου 2 ℵA,C (13.1%) NU ¦ ~ εσται 1 (0.5%) ¦ 2 (2.6%) ¦ 1 (0.3%) ¦ --- (2.7%)
[h] του χριστου **f**35 [96%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B,C [4%] NU
[i] νομον **f**35 (92.2%) HF,RP,OC,TR,CP ¦ 1 μη ων αυτος υπο 1 ℵA,B,C (6.8%) NU ¦ long omissions (1%)
[j] θεω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ θεου 𝔓46ℵA,B,C [5%] NU
[k] χριστω **f**35 [90%] HF,RP,OC,TR,CP ¦ χριστου 𝔓46ℵA,B,C [10%] NU
[l] κερδησω ανομους **f**35 [94%] HF,RP,OC,TR,CP ¦ ~ 21 [2%] ¦ 1 τους 2 𝔓46 ¦ κερδανω τους 2 ℵA,B,C [3%] NU ¦ κερδανω 2 [1%]
[m] ως **f**35 C [99%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B [1%] NU
[n] τα **f**35 [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B,C [3%] NU
[o] τουτο **f**35 (92.9%) HF,RP,OC,TR,CP ¦ παντα 𝔓46ℵA,B,C (7.1%) NU
[p] συγκοινωνος *rell* ¦ συκοινωνος CP
[q] δαιρων **f**35 [35%] CP ¦ δερων 𝔓46ℵA,B,C [65%] HF,RP,OC,TR,NU
[r] αλλ *rell* ¦ αλλα 𝔓46B [2%] NU
[s] υπωπιαζω **f**35 ℵA,B,C [62%] HF,RP,TR,NU ¦ υποπιαζω 𝔓46 [34%] OC,CP ¦ υποπιεζω [4%]
[t] δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ γαρ 𝔓46ℵA,B,C [4%] NU
[u] μωυσην *rell* ¦ μωσην ℵA [5%] TR ¦ μωυσεα 𝔓46
[v] εβαπτισαντο **f**35 B [90%] HF,RP,OC,TR,CP ¦ εβαπτιζοντο 𝔓46 ¦ εβαπτισθησαν ℵA,C [10%] NU

πνευματικὸν ἔφαγον[w] **4** καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον·[x] ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα[y] ἦν ὁ Χριστός. **5** Ἀλλ᾽ οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός—κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ.

Examples

**6** Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν καθὼς κἀκεῖνοι ἐπεθύμησαν. **7** Μηδὲ εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν· ὥσπερ[z] γέγραπται· «Ἐκάθισεν ὁ λαὸς[a] φαγεῖν καὶ πιεῖν,[b] καὶ ἀνέστησαν παίζειν.» **8** Μηδὲ πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευσαν—καὶ ἔπεσον[c] ἐν[d] μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. **9** Μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν,[e] καθὼς καί[f] τινες αὐτῶν ἐπείρασαν—καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο.[g] **10** Μηδὲ γογγύζετε, καθὼς καί[h] τινες αὐτῶν ἐγόγγυσαν—καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ.

**11** Ταῦτα δὲ πάντα[i] τύποι συνέβαινον[j] ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.[k] **12** Ὥστε, ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ. **13** Πειρασμὸς ὑμᾶς οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος, δυνατὸς[l] δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν, τοῦ δύνασθαι ὑμᾶς[m] ὑπενεγκεῖν.

## *Eschew idolatry*

**14** Διόπερ,[n] ἀγαπητοί μου,[o] φεύγετε ἀπὸ τῆς εἰδωλολατρίας.[p] **15** Ὡς φρονίμοις λέγω· κρίνατε ὑμεῖς ὅ φημι. **16** Τὸ ποτήριον τῆς εὐλογίας ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ Χριστοῦ ἐστιν;[q] Τὸν ἄρτον ὃν κλῶμεν, οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ ἐστιν; **17** Ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί ἐσμεν, οἱ γὰρ

---

[w] βρωμα πνευματικον εφαγον **f**35 ℵC [94%] HF,RP,OC,TR,CP ¦ ~ 213 𝔓46B [3%] NU ¦ ~ 231 A [1%] ¦ four other readings [2%]

[x] πωμα πνευματικον επιον **f**35 [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 𝔓46ℵA,B,C [3%] NU ¦ three other readings [1%]

[y] δε πετρα **f**35 𝔓46A,C [98.5%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵB [1.5%] NU

[z] ωσπερ **f**35 𝔓46ℵA,B [90%] HF,RP,CP,NU ¦ ως C [10%] OC,TR

[a] λαος *rell* ¦ 1 του [1%] CP

[b] πιειν **f**35 A,C [98%] HF,RP,OC,TR,CP ¦ πειν 𝔓46B [1%] NU ¦ πιν ℵ ¦ ποιειν [1%]

[c] επεσον **f**35 𝔓46 [90%] HF,RP,OC,TR,CP ¦ επεσαν ℵA,B,C [10%] NU

[d] εν **f**35 A,C [98.5%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵB [1.5%] NU

[e] χριστον *rell* ¦ κυριον ℵB,C (7.3%) ¦ θεον A (2.7%) ¦ --- (0.9%)

[f] και **f**35 C [88%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46ℵA,B [12%] NU

[g] απωλοντο **f**35 C [99%] HF,RP,OC,TR,CP ¦ απωλυντο 𝔓46 ¦ απωλλυντο ℵB [1%] NU

[h] καθως και **f**35 (79.1%) HF,RP,OC,TR,CP ¦ 1 A,C (17.6%) ¦ καθαπερ 𝔓46ℵB (1%) NU ¦ long omissions (2.2%)

[i] ταυτα δε παντα **f**35 C [96%] HF,RP,OC,TR,CP ¦ ~ 321 ℵ [2%] ¦ 12 A,B [2%] NU

[j] τυποι συνεβαινον **f**35 (86.8%) HF,RP,OC,TR,CP ¦ τυπικως συνεβαινεν 𝔓46ℵB,C (8.4%) NU ¦ τυπικως 2 A (2.4%) ¦ 1 συνεβαινεν (0.9%) ¦ 2 (0.9%) ¦ three other readings (0.7%)

[k] κατηντησεν **f**35 A,C [97%] HF,RP,OC,TR,CP ¦ κατηντηκεν 𝔓46ℵB [2%] NU ¦ two other readings [1%]

[l] δυνατος **f**35 [30%] CP ¦ πιστος 𝔓46ℵA,B,C [70%] HF,RP,OC,TR,NU

[m] υμας **f**35 [92%] HF,RP,OC,TR,CP ¦ ημας [3%] ¦ --- 𝔓46ℵA,B,C [5%] NU (OC is in small print.)

[n] διοπερ *rell* ¦ διο [5%] CP

[o] αγαπητοι μου *rell* ¦ ~ αδελφοι 21 CP

[p] ειδωλολατριας **f**35 𝔓46(ℵ)B,C [64%] OC,CP ¦ ειδωλολατρειας A [35%] HF,RP,TR,NU ¦ ειδωλολατρεας [1%]

[q] του αιματος του χριστου εστιν **f**35 ℵC [99%] HF,RP,OC,TR,CP ¦ ~ 51234 𝔓46A,B [1%] NU

πάντες ἐκ τοῦ ἑνὸς ἄρτου μετέχομεν. **18** Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα· οὐχὶ[r] οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ τοῦ θυσιαστηρίου εἰσίν;

Idol = demon

**19** Τί οὖν φημι; Ὅτι εἴδωλόν τί ἐστιν, ἢ ὅτι εἰδωλόθυτόν[s] τί ἐστιν; **20** Ἀλλ᾽ ὅτι ἃ θύει[t] τὰ ἔθνη[u] δαιμονίοις θύει καὶ οὐ Θεῷ.[v] Οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γίνεσθαι. **21** Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων. **22** Ἢ παραζηλοῦμεν τὸν Κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

*About conscience*

**23** Πάντα μοι[w] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει. Πάντα μοι[x] ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ. **24** Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ[y] τὸ τοῦ ἑτέρου ἕκαστος.[z]
**25** Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν·
**26** «τοῦ γὰρ Κυρίου[a] ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.» **27** Εἰ δέ[b] τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε[c] πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. **28** Ἐὰν δέ τις ὑμῖν εἴπῃ, «Τοῦτο εἰδωλόθυτόν[d] ἐστιν,» μὴ ἐσθίετε δι᾽ ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· «τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.»[e] **29** Συνείδησιν, δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ ἀλλὰ τὴν τοῦ ἑτέρου.

Do all to the glory of God

Ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; **30** Εἰ[f] ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; **31** Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. **32** Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις[g] καὶ Ἕλλησιν καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ **33**—καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον[h] ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσιν. **11:1** Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

---

[r] ουχι **f**$^{35}$ 𝔓$^{46}$B [97%] HF,RP,OC,TR,CP ¦ ουχ ℵA,C [3%] NU
[s] ειδωλον τι εστιν η οτι ειδωλοθυτον **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ 12346 [1%] ¦ ~ 623451 B [3%] NU ¦ ~ 612 𝔓$^{46}$ℵA,C [2%]
[t] θυει **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ θυουσιν 𝔓$^{46}$ℵA,B,C [7%] NU
[u] τα εθνη **f**$^{35}$ 𝔓$^{46}$ℵA,C [99%] HF,RP,OC,TR,CP ¦ --- B [1%] NU
[v] θυει και ου θεω **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ θυουσιν 234 [2%] ¦ ~ 234 θυουσιν ℵA,B,C [3%] [NU]
[w] μοι **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [3%] NU
[x] μοι **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [3%] NU ¦ long omission [10%] [homoioteleuton]
[y] αλλα *rell* ¦ 1 και [12%]
[z] ετερου εκαστος **f**$^{35}$ (89.5%) HF,RP,OC,TR,CP ¦ 1 𝔓$^{46}$ℵ(A)B,C (4.6%) NU ¦ πλησιον 2 (5.9%)
[a] γαρ κυριου **f**$^{35}$ 𝔓$^{46}$A [90%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵB,C [3%] NU ¦ long omission [7%]
[b] δε **f**$^{35}$ C [88%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [4%] NU ¦ long omission [8%]
[c] θελετε *rell* ¦ θελεται ℵ [10%]
[d] ειδωλοθυτον **f**$^{35}$ C [99%] HF,RP,OC,TR,CP ¦ ιεροθυτον 𝔓$^{46}$ℵA,B [1%] NU
[e] του γαρ κυριου η γη και το πληρωμα αυτης **f**$^{35}$ (91.2%) HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C (8.4%) NU ¦ --- 𝔓$^{46}$ has a longer omission ¦ one other reading (0.3%)
[f] ει **f**$^{35}$ ℵA,B,C [98%] HF,RP,OC,CP,NU ¦ ει δε 𝔓$^{46}$ [2%] TR
[g] γινεσθε και ιουδαιοις **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ ~ 231 𝔓$^{46}$ℵA,B,C [3%] NU
[h] συμφερον **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ συμφορον 𝔓$^{46}$ℵA,B,C [1%] NU ¦ συμφερων [4%]

## The nature of church life

### *About women*

**11:2** Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί,[i] ὅτι πάντα μου μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν,
τὰς παραδόσεις[j] κατέχετε. **3** Θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ
Χριστός ἐστιν, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ[k] Χριστοῦ ὁ Θεός. **4** Πᾶς ἀνὴρ
προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ.[l]
**5** Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ
καταισχύνει[m] τὴν κεφαλὴν ἑαυτῆς[n]—ἓν γάρ ἐστιν καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ.[o] **6** Εἰ
γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω. Εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρεσθαι[p] ἢ
ξυρᾶσθαι, κατακαλυπτέσθω.

**7** Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ
ὑπάρχων·[q] γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. **8** Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ
ἐξ ἀνδρός· **9** καὶ γὰρ οὐκ ἐκτίσθη[r] ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα
**10**—διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς, διὰ τοὺς ἀγγέλους—
**11** πλήν, οὔτε ἀνὴρ χωρὶς γυναικὸς οὔτε γυνὴ χωρὶς ἀνδρός,[s] ἐν Κυρίῳ. **12** Ὥσπερ
γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτως καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός· τὰ δὲ πάντα ἐκ τοῦ
Θεοῦ.

**13** Ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶν γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ
προσεύχεσθαι; **14** Ἢ[t] οὐδὲ αὐτὴ ἡ φύσις[u] διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ,
ἀτιμία αὐτῷ ἐστιν; **15** Γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν, ὅτι ἡ κόμη ἀντὶ
περιβολαίου δέδοται.[v]

**16** Εἰ δέ τις δοκεῖ φιλόνεικος[w] εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ
ἐκκλησίαι τοῦ Θεοῦ.

---

[i] αδελφοι **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [3%] NU

[j] παραδοσεις *rell* ¦ παραδωσεις [9%] CP

[k] δε **f**$^{35}$ **𝔓**$^{46}$C [97%] HF,RP,OC,TR,CP ¦ 1 του ℵA,B [3%] NU

[l] κεφαλην αυτου *rell* ¦ ~ εαυτου 1 CP

[m] καταισχυνει *rell* ¦ καταισχυνη [13%] ¦ κατεσχυνη [2%]

[n] εαυτης **f**$^{35}$ B [75%] HF,RP,OC,TR,CP ¦ αυτης **𝔓**$^{46v}$ℵA,C [25%] NU

[o] εξυρημενη *rell* ¦ ξυρημενη CP

[p] κειρεσθαι **f**$^{35}$ [32%] CP ¦ κειρασθαι ℵA,B,C [64%] HF,RP,OC,TR,NU ¦ κηρασθαι [3%] ¦ three other readings [1%]

[q] υπαρχων **f**$^{35}$ **𝔓**$^{46}$ℵC [97%] HF,RP,OC,TR,CP ¦ 1 η A,B [3%] NU

[r] εκτισθη *rell* ¦ εκκτισθη CP

[s] ανηρ χωρις γυναικος ουτε γυνη χωρις ανδρος **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 5674123 **𝔓**$^{46}$ℵA,B,C [5%] NU

[t] η **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [4%] NU

[u] αυτη η φυσις **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵA,B,C [4%] NU ¦ η φυσις αυτης **𝔓**$^{46}$

[v] δεδοται **f**$^{35}$ **𝔓**$^{46}$ [73%] HF,RP,CP ¦ 1 αυτη ℵA,B [17%] OC,TR[NU] ¦ αυτη 1 C [5%] ¦ δεδωται [3%] ¦ two other readings [2%]

[w] φιλονεικος *rell* ¦ φιλονικος (C) [16%]

## *About the Lord's Supper*

### Some local abuses

**17** Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ, ὅτι οὐκ εἰς τὸ κρεῖττον[x] ἀλλ'[y] εἰς τὸ ἧττον[z]
συνέρχεσθε. **18** Πρῶτον μὲν γάρ, συνερχομένων ὑμῶν ἐν[a] ἐκκλησίᾳ, ἀκούω σχίσματα
ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω. **19** Δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν[b] εἶναι ἵνα[c] οἱ
δόκιμοι φανεροὶ γένωνται[d] ἐν ὑμῖν.

**20** Συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτό, οὐκ ἔστιν κυριακὸν δεῖπνον φαγεῖν.
**21** Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει[e] ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ
μεθύει. **22** Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; Ἢ τῆς ἐκκλησίας τοῦ
Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; Τί ὑμῖν εἴπω;[f] Ἐπαινέσω
ὑμᾶς ἐν τούτῳ; Οὐκ ἐπαινῶ.

### How the Lord inaugurated it

**23** Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ[g] Κύριος
Ἰησοῦς, ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο,[h] ἔλαβεν ἄρτον· **24** καὶ εὐχαριστήσας ἔκλασεν καὶ
εἶπεν· «Λάβετε, φάγετε·[i] τοῦτό μού ἐστιν τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον·[j] τοῦτο
ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.» **25** Ὡσαύτως καὶ τὸ ποτήριον, μετὰ τὸ δειπνῆσαι,
λέγων· «Τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε,
ὁσάκις ἂν[k] πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν.» **26** Ὁσάκις γὰρ ἂν[l] ἐσθίητε τὸν ἄρτον
τοῦτον καὶ τὸ ποτήριον τοῦτο[m] πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε ἄχρις
οὗ ἂν[n] ἔλθῃ.

### Be careful to partake worthily

**27** Ὥστε ὃς ἂν ἐσθίῃ[o] τὸν ἄρτον τοῦτον[p] ἢ πίνῃ[q] τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως[r]
ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ[s] αἵματος τοῦ Κυρίου. **28** Δοκιμαζέτω δὲ ἄνθρωπος
ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω. **29** Ὁ γὰρ

---

[x] κρειττον **f**35 [85%] HF,RP,OC,TR,CP ¦ κρεισσον (א)A,B,C [3%] NU ¦ κρειτγον [12%]
[y] αλλ *rell* ¦ αλλα A,B,C [11%] NU
[z] ηττον **f**35 [88%] HF,RP,OC,TR,CP ¦ ησσον אA,B,C [2%] NU ¦ ητγον [10%]
[a] εν **f**35 אA,B,C [78%] HF,RP,OC,CP,NU ¦ 1 τη [22%] TR
[b] αιρεσεις εν υμιν *rell* ¦ ~ 231 [2%] CP
[c] ινα **f**35 אA,C [97%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔓46B [3%] [NU]
[d] γενωνται *rell* ¦ γενονται [13%]
[e] προλαμβανει *rell* ¦ προσλαμβανει A [15%]
[f] υμιν ειπω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓46אA,B,C [5%] NU
[g] ο *rell* ¦ --- [10%]
[h] παρεδιδοτο **f**35 [90%] HF,RP,OC,TR,CP ¦ παρεδιδετο 𝔓46אA,B,C [5%] NU ¦ seven other readings [5%]
[i] λαβετε φαγετε **f**35 (91.4%) HF,RP,OC,TR,CP ¦ --- (𝔓46)אA,B,C (8.3%) NU ¦ two long omissions (0.3%)
[j] κλωμενον **f**35 [98%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46אA,B,C [2%] NU
[k] αν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ εαν 𝔓46vאB,C [3%] NU ¦ long omission A [2%]
[l] αν **f**35 [94%] HF,RP,OC,TR,CP ¦ εαν אA,B,C [4%] NU ¦ --- [2%]
[m] τουτο **f**35 𝔓46 [93%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [7%] NU
[n] αν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ εαν [1%] ¦ --- 𝔓46אA,B,C [4%] NU
[o] εσθιη *rell* ¦ εσθιει [25%] ¦ three other readings 𝔓46 [1%]
[p] τουτον **f**35 [93%] HF,RP,OC,TR,CP ¦ --- 𝔓46אA,B,C [7%] NU
[q] πινη *rell* ¦ πινει [13%] ¦ two other readings [1%]
[r] αναξιως **f**35 𝔓46A,B,C [70%] OC,TR,CP,NU ¦ 1 του κυριου א [30%] RP,HF
[s] του **f**35 𝔓46אA,B,C [85%] HF,RP,CP,NU ¦ --- [10%] OC,TR ¦ long omission [5%]

ἐσθίων καὶ πίνων ἀναξίως[t] κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ
Κυρίου.[u] **30** Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί.

**31** Εἰ γὰρ[v] ἑαυτοὺς διεκρίνομεν,[w] οὐκ ἂν ἐκρινόμεθα. **32** Κρινόμενοι δέ, ὑπὸ[x]
Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν.

**33** Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. **34** Εἰ
δέ[y] τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. Τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω
διατάξομαι.

### *About spiritual gifts*

**12:1** Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. **2** Οἴδατε ὅτι ὅτε[z]
ἔθνη ἦτε πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε, ἀπαγόμενοι. **3** Διὸ γνωρίζω ὑμῖν ὅτι
οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν,[a] καὶ οὐδεὶς δύναται εἰπεῖν
Κύριον Ἰησοῦν[b] εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ.

**4** Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα. **5** Καὶ διαιρέσεις διακονιῶν
εἰσιν,[c] καὶ ὁ αὐτὸς Κύριος. **6** Καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστιν[d]
Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. **7** Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος
πρὸς τὸ συμφέρον.

A list of gifts

**8** Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώσεως,
κατὰ τὸ αὐτὸ Πνεῦμα· **9** ἑτέρῳ δὲ[e] πίστις, ἐν τῷ αὐτῷ Πνεύματι· ἄλλῳ δὲ χαρίσματα
ἰαμάτων, ἐν τῷ αὐτῷ[f] Πνεύματι· **10** ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ[g]
προφητεία, ἄλλῳ δὲ[h] διακρίσεις πνευμάτων· ἑτέρῳ δὲ[i] γένη γλωσσῶν, ἄλλῳ δὲ
ἑρμηνεία γλωσσῶν. **11** Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν
ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

An analogy from the body

**12** Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστιν καὶ μέλη ἔχει πολλά,[j] πάντα δὲ τὰ μέλη τοῦ
σώματος τοῦ ἑνός,[k] πολλὰ ὄντα, ἕν ἐστιν σῶμα, οὕτως καὶ ὁ Χριστός. **13** Καὶ γὰρ ἐν

---

[t] αναξιως **f**$^{35}$ (98%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C (1.5%) NU ¦ long omission (0.5%)
[u] του κυριου **f**$^{35}$ (98%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C (2%) NU
[v] γαρ **f**$^{35}$ C [97%] HF,RP,OC,TR,CP ¦ δε **𝔓**$^{46}$ℵA,B [3%] NU
[w] διεκρινομεν (**𝔓**$^{46}$B) *rell* ¦ εκρινομεν [25%]
[x] υπο **f**$^{35}$ **𝔓**$^{46}$A [92%] HF,RP,TR ¦ 1 του ℵB,C [8%] OC,CP[NU] (Some TRs have του; OC is in small print.)
[y] δε **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,B,C [3%] NU
[z] οτε **f**$^{35}$ ℵA,B,C [82%] HF,RP,OC,CP,NU ¦ --- [18%] TR
[a] ιησουν **f**$^{35}$ **𝔓**$^{46}$ (95.6%) HF,RP,OC,TR,CP ¦ ιησους ℵA,B,C (3.4%) NU ¦ four other readings (1%)
[b] κυριον ιησουν **f**$^{35}$ (93.2%) HF,RP,OC,TR,CP ¦ κυριος ιησους **𝔓**$^{46}$ℵA,B,C (5.2%) NU ¦ 12 χριστον (0.8%) ¦ long omission (0.7%)
[c] και διαιρεσεις διακονιων εισιν *rell* ¦ --- [14%] [homoioarcton]
[d] εστιν **f**$^{35}$ (B) (79.5%) HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵA,C (20.5%) NU
[e] δε **f**$^{35}$ **𝔓**$^{46}$A,C [98%] HF,RP,OC,TR,CP ¦ --- ℵB [2%] NU
[f] αυτω **f**$^{35}$ ℵ,0201 [94%] HF,RP,OC,TR,CP ¦ ενι A,B [2%] NU ¦ --- **𝔓**$^{46}$ (C) [1%] ¦ long omission [3%]
[g] δε **f**$^{35}$ ℵA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**$^{46}$B,0201 [2%]
[h] δε **f**$^{35}$ ℵA,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- **𝔓**$^{46}$B,0201 [2%]
[i] δε **f**$^{35}$ A,C [96%] HF,RP,OC,TR,CP ¦ --- **𝔓**$^{46}$ℵB,0201 [4%] NU
[j] μελη εχει πολλα **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 132 ℵA,B,C [4%] NU ¦ ~ 312 **𝔓**$^{46}$
[k] του ενος **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,C [7%] NU

ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν—εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες,
εἴτε δοῦλοι εἴτε ἐλεύθεροι—καὶ πάντες εἰς[l] ἓν Πνεῦμα ἐποτίσθημεν.[m] **14** Καὶ γὰρ τὸ
σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά. **15** Ἐὰν εἴπῃ ὁ πούς, «Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ
εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. **16** Καὶ ἐὰν εἴπῃ τὸ
οὖς, «Ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος,» οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ
τοῦ σώματος. **17** Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; Εἰ ὅλον ἀκοή, ποῦ ἡ
ὄσφρησις; **18** Νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη, ἓν ἕκαστον αὐτῶν, ἐν τῷ σώματι καθὼς
ἠθέλησεν. **19** (Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; **20** Νῦν δὲ πολλὰ μὲν μέλη
ἓν δὲ σῶμα.)

**21** Οὐ δύναται δὲ ὁ[n] ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, «Χρείαν σου οὐκ ἔχω»· ἢ πάλιν ἡ
κεφαλὴ τοῖς ποσίν, «Χρείαν ὑμῶν οὐκ ἔχω.» **22** Ἀλλὰ πολλῷ μᾶλλον, τὰ δοκοῦντα
μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστιν. **23** Καὶ ἃ δοκοῦμεν
ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν· καὶ τὰ
ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει, **24** τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ
χρείαν ἔχει. Ἀλλ᾽[o] ὁ Θεὸς συνεκέρασεν τὸ σῶμα, τῷ ὑστεροῦντι[p] περισσοτέραν δοὺς
τιμήν, **25** ἵνα μὴ ᾖ σχίσμα[q] ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσιν τὰ
μέλη· **26** καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχῃ[r] πάντα τὰ μέλη· εἴτε δοξάζεται ἓν[s]
μέλος, συγχαίρῃ[t] πάντα τὰ μέλη.

### *Functions in the Church*

**27** Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. **28** Καὶ οὓς μὲν ἔθετο ὁ
Θεὸς ἐν τῇ ἐκκλησίᾳ· πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους·
ἔπειτα δυνάμεις, εἶτα[u] χαρίσματα ἰαμάτων, ἀντιλήψεις,[v] κυβερνήσεις, γένη γλωσσῶν.
**29** Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; Μὴ πάντες
δυνάμεις; **30** Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσιν;
Μὴ πάντες διερμηνεύουσιν; **31** Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα.[w]

### *About agape love*

Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. **13:1** Ἐὰν ταῖς γλώσσαις τῶν
ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ
κύμβαλον ἀλαλάζον. **2** Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ
πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν,[x] ἀγάπην δὲ

---

[l] εις f$^{35}$ [91%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,C [9%] NU

[m] πνευμα εποτισθημεν f$^{35}$ 𝔓$^{46}$ℵB,C [72%] HF,RP,OC,TR,CP,NU ¦ πομα 2 [24%] ¦ 1 εφωτισθημεν [4%] ¦ σωμα εσμεν A

[n] δε ο f$^{35}$ 𝔓$^{46}$ℵB [64%] HF,RP,CP,NU ¦ 2 A,C [18%] ¦ 1 [8%] OC,TR ¦ --- [10%]

[o] αλλ *rell* ¦ αλλα ℵA,B,C [25%] NU

[p] υστερουντι f$^{35}$ 𝔓$^{46}$ [97%] HF,RP,OC,TR,CP ¦ υστερουμενω ℵA,B,C,048 [3%] NU

[q] σχισμα f$^{35}$ 𝔓$^{46}$A,B,C [58%] OC,TR,NU ¦ σχισματα ℵ [40%] HF,RP,CP ¦ two other readings [2%]

[r] συμπασχη f$^{35}$ [40%] CP ¦ συμπασχει (𝔓$^{46}$ℵA,B,C) [60%] HF,RP,OC,TR,NU

[s] εν f$^{35}$ C [99%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓$^{46}$ℵA,B [1%]

[t] συγχαιρη f$^{35}$ [40%] CP ¦ συγχαιρει (𝔓$^{46}$)ℵ(A,B,C) [60%] HF,RP,OC,TR,NU

[u] ειτα f$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ επειτα 𝔓$^{46}$ℵA,B,C [3%] NU ¦ --- [1%]

[v] αντιληψεις *rell* ¦ αντιλημψεις (𝔓$^{46}$)ℵA,B [2%] NU

[w] κρειττονα f$^{35}$ (94.2%) HF,RP,OC,TR,CP ¦ μειζονα 𝔓$^{46}$ℵA,B,C (5.8%) NU

[x] μεθιστανειν f$^{35}$ A,C [97%] HF,RP,OC,TR,CP ¦ μεθισταναι 𝔓$^{46}$B,048 [3%] NU ¦ ℵ omits a whole verse [homoioteleuton]

μὴ ἔχω, οὐθέν[y] εἰμι. **3** Καὶ ἐὰν[z] ψωμίσω πάντα τὰ ὑπάρχοντά μου καὶ ἐὰν παραδῶ τὸ
σῶμά μου ἵνα καυθήσομαι,[a] ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι.

### Love described

**4** Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ
περπερεύεται,[b] οὐ φυσιοῦται, **5** οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται,
οὐ λογίζεται τὸ κακόν· **6** οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· **7** πάντα
στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· **8** ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.[c]

### Love contrasted

Εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις,
καταργηθήσεται· **9** ἐκ μέρους δὲ[d] γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν. **10** Ὅταν
δὲ ἔλθῃ τὸ τέλειον, τότε[e] τὸ ἐκ μέρους καταργηθήσεται. **11** (Ὅτε ἤμην νήπιος, ὡς
νήπιος ἐλάλουν,[f] ὡς νήπιος ἐφρόνουν,[g] ὡς νήπιος ἐλογιζόμην·[h] ὅτε δὲ[i] γέγονα ἀνήρ,
κατήργηκα τὰ τοῦ νηπίου.) **12** Βλέπομεν γὰρ ἄρτι δι᾽ ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ
πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ
ἐπεγνώσθην.

**13** Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

## *Prophecy is better than Tongues*

**14:1** Διώκετε τὴν ἀγάπην, ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα
προφητεύητε. **2** Ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ ἀλλὰ τῷ[j] Θεῷ, οὐδεὶς γὰρ
ἀκούει· πνεύματι δὲ λαλεῖ μυστήρια. **3** Ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν
καὶ παράκλησιν καὶ παραμυθίαν. **4** Ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ
προφητεύων ἐκκλησίαν οἰκοδομεῖ. **5** Θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον
δὲ ἵνα προφητεύητε· μείζων γὰρ[k] ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις (ἐκτὸς εἰ μὴ
διερμηνεύει),[l] ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ.

---

[y] ουθεν *rell* ¦ ουδεν [5%] OC

[z] και εαν **f**$^{35}$ ℵ [97%] HF,RP,OC,TR,CP ¦ καν 𝔓$^{46}$A,B,C [3%] NU

[a] καυθησομαι **f**$^{35}$ (50.6%) OC ¦ καυθησωμαι C (44.7%) HF,RP,TR,CP ¦ καυθησεται (1%) ¦ καυθη (0.8%) ¦ καυχησωμαι 𝔓$^{46}$ℵA,B (1.5%) NU ¦ καυχησομαι 048 (0.5%) ¦ four further variants (0.8%) (As one of the speakers at the Perry Hall Theological Forum, January, 2005, Maurice Robinson explained that he and Pierpont chose the main minority reading here because to them it was the most difficult [!!]. But people expect the Subjunctive with ἱνα, so many scribes probably made the change virtually without thinking.)

[b] η αγαπη ου περπερευεται **f**$^{35}$ ℵC,048 (83.5%) HF,RP,OC,TR,CP[NU] ¦ 123 περπορευεται A (2.4%) ¦ 123 υπερπερευεται (0.5%) ¦ 34 B (12.9%) ¦ ~ 3412 𝔓$^{46}$ ¦ long omission (0.7%)

[c] εκπιπτει **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ πιπτει 𝔓$^{46}$ℵA,B,C,048 [2%] NU

[d] δε **f**$^{35}$ [92%] HF,RP,OC,CP ¦ γαρ 𝔓$^{46}$ℵA,B [8%] TR,NU

[e] τοτε **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [6%] NU

[f] ως νηπιος ελαλουν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 𝔓$^{46}$ℵA,B [5%] NU

[g] ως νηπιος εφρονουν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B [5%] NU

[h] ως νηπιος ελογιζομην **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 312 ℵA,B [5%] NU

[i] δε **f**$^{35}$ [98.5%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,048 [1.5%] NU

[j] τω **f**$^{35}$ A [98%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵB [2%] NU

[k] γαρ **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ δε 𝔓$^{46}$ℵA,B [3%] NU

[l] διερμηνευει **f**$^{35}$ [85%] HF,RP,OC,CP ¦ διερμηνευη 𝔓$^{46}$ℵA,B,048 [14%] TR,NU ¦ διερμηνευων [1%]

Messages need to be intelligible

**6** Νυνὶ[m] δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν
μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει, ἢ ἐν γνώσει, ἢ ἐν προφητείᾳ, ἢ ἐν[n] διδαχῇ; **7** Ὅμως
τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα· ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ
διδῷ,[o] πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; **8** Καὶ γὰρ ἐὰν ἄδηλον
φωνὴν σάλπιγξ[p] δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; **9** Οὕτως καὶ ὑμεῖς· διὰ τῆς
γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; Ἔσεσθε γὰρ
εἰς ἀέρα λαλοῦντες. **10** Τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν[q] ἐν κόσμῳ, καὶ οὐδὲν
αὐτῶν[r] ἄφωνον. **11** Ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι
βάρβαρος, καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος.

**12** Οὕτως καὶ ὑμεῖς· ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς
ἐκκλησίας ζητεῖτε, ἵνα περισσεύητε. **13** Διόπερ[s] ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα
διερμηνεύῃ. **14** Ἐὰν γὰρ[t] προσεύχωμαι[u] γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ
νοῦς μου ἄκαρπός ἐστιν. **15** Τί οὖν ἐστιν; Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ
καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. **16** Ἐπεί, ἐὰν εὐλογήσῃς[v] τῷ[w]
πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου, πῶς ἐρεῖ τὸ «Ἀμὴν» ἐπὶ τῇ σῇ
εὐχαριστίᾳ, ἐπειδὴ τί λέγεις οὐκ οἶδεν; **17** Σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ᾽ ὁ
ἕτερος οὐκ οἰκοδομεῖται.

Paul's example

**18** Εὐχαριστῶ τῷ Θεῷ μου[x] πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν,[y] **19** ἀλλ᾽[z] ἐν
ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός[a] μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ
μυρίους λόγους[b] ἐν γλώσσῃ.

**20** Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν—ἀλλά, τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ
φρεσὶν τέλειοι γίνεσθε.[c] **21** Ἐν τῷ νόμῳ γέγραπται ὅτι· «Ἐν ἑτερογλώσσοις καὶ ἐν
χείλεσιν ἑτέροις[d] λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ᾽ οὕτως εἰσακούσονταί μου,» λέγει
Κύριος. **22** Ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν, οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς
ἀπίστοις· ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις ἀλλὰ τοῖς πιστεύουσιν. **23** Ἐὰν οὖν

---

[m] νυνι **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ νυν אA,B [10%] NU
[n] εν **f**[35] A,B,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓[46]א [2%]
[o] διδω **f**[35] 𝔓[46] [85%] HF,RP,OC,CP ¦ δω אA,B [15%] TR,NU
[p] φωνην σαλπιγξ **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 (𝔓[46])א(A)048 [5%] NU
[q] εστιν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ εισιν 𝔓[46]אA,B [6%] NU
[r] αυτων **f**[35] (92.6%) HF,RP,OC,TR,CP ¦ --- 𝔓[46]אA,B,048 (7.4%) NU
[s] διοπερ **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ διο 𝔓[46]אA,B,048 [3%] NU
[t] γαρ **f**[35] אA,048 [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- 𝔓[46]B [2%]
[u] προσευχωμαι *rell* ¦ προσευχομαι [15%]
[v] ευλογησης **f**[35] 𝔓[46]048 [90%] HF,RP,OC,TR,CP ¦ ευλογης אA,B [10%] NU
[w] τω **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ εν B [2%] [NU] ¦ --- 𝔓[46]אA [2%]
[x] μου **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ --- (𝔓[46])אA,B [6%] NU
[y] λαλων **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ λαλω אB,048 [3%] NU ¦ λαλειν 𝔓[46] [1%] ¦ --- A
[z] αλλ *rell* ¦ αλλα 𝔓[46]A,B [1%] NU ¦ --- א
[a] δια του νοος **f**[35] 048 (89.6%) HF,RP,OC,TR,CP ¦ 12 νους (1.9%) ¦ τω νοι אA,B (7.7%) NU ¦ εν τω νοι 𝔓[46] (0.3%) ¦ two other readings (0.5%)
[b] λογους *rell* ¦ --- 𝔓[46] [14%]
[c] γινεσθε *rell* ¦ γινεσθαι (A) [30%] some TRs
[d] ετεροις **f**[35] 𝔓[46] [97%] HF,RP,OC,TR,CP ¦ ετερων אA,B,0201 [3%] NU

συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις λαλῶσιν,[e] εἰσέλθωσιν δὲ
ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; **24** Ἐὰν δὲ πάντες προφητεύωσιν,
εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων.
**25** Καὶ οὕτως[f] τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται, καὶ οὕτως, πεσὼν ἐπὶ
πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι, «Ὄντως ὁ Θεὸς ἐν ὑμῖν ἐστιν.»[g]

There are limits

**26** Τί οὖν ἐστιν, ἀδελφοί; Ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν[h] ψαλμὸν ἔχει, διδαχὴν
ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν[i] ἔχει, ἑρμηνείαν ἔχει. Πάντα πρὸς οἰκοδομὴν
γινέσθω.[j] **27** Εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ
εἷς διερμηνευέτω. **28** Ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ· ἑαυτῷ δὲ
λαλείτω καὶ τῷ Θεῷ. **29** Προφῆται δὲ[k] δύο ἢ τρεῖς λαλείτωσαν,[l] καὶ οἱ ἄλλοι
διακρινέτωσαν. **30** Ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω.
**31** Δύνασθε γὰρ καθ᾽ ἕνα[m] πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσιν καὶ πάντες
παρακαλῶνται. **32** Καί, πνεύματα προφητῶν προφήταις ὑποτάσσεται. **33** Οὐ γὰρ
ἐστιν ἀκαταστασίας ὁ Θεὸς ἀλλ᾽[n] εἰρήνης.

Wives are not to speak

Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων, **34** αἱ γυναῖκες ὑμῶν[o] ἐν ταῖς ἐκκλησίαις
σιγάτωσαν, οὐ γὰρ ἐπιτέτραπται[p] αὐταῖς[q] λαλεῖν, ἀλλ᾽ ὑποτάσσεσθαι,[r] καθὼς καὶ ὁ
νόμος λέγει. **35** Εἰ δέ τι μαθεῖν θέλουσιν,[s] ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν,
αἰσχρὸν γάρ ἐστιν γυναιξὶν[t] ἐν ἐκκλησίᾳ[u] λαλεῖν.[v] **36** Ἢ ἀφ᾽ ὑμῶν ὁ λόγος τοῦ Θεοῦ
ἐξῆλθεν; Ἢ εἰς ὑμᾶς μόνους κατήντησεν;

---

[e] γλωσσαις λαλωσιν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 21 ℵA,B [4%] NU ¦ ~ λαλησωσιν 1 𝔓$^{46}$

[f] και ουτως **f**$^{35}$ (75.8%) RP ¦ 1 ουτω (17.3%) HF,OC,TR,CP ¦ 1 (0.8%) ¦ --- 𝔓$^{46}$ℵA,B,048,0201 (5.5%) NU ¦ long omission (0.5%)

[g] οντως ο θεος εν υμιν εστιν **f**$^{35}$ A,B [23%] CP,NU ¦ ~ 231456 [75%] HF,RP,OC,TR ¦ 23456 [1%] ¦ 13456 ℵ [1%] ¦ ~ 145623 𝔓$^{46}$

[h] υμων **f**$^{35}$ (96.8%) HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B,0201 (3.2%) NU

[i] γλωσσαν εχει αποκαλυψιν **f**$^{35}$ [71%] HF,RP,OC,TR,CP ¦ ~ 321 𝔓$^{46}$ℵA,B [14%] NU ¦ 3 [5%] ¦ --- [10%]

[j] γινεσθω **f**$^{35}$ ℵ [95%] HF,RP,OC,CP,NU ¦ γενεσθω [3%] TR ¦ γεινεσθω 𝔓$^{46}$A,B [2%]

[k] δε *rell* ¦ --- 𝔓$^{46}$ [1%] CP

[l] λαλειτωσαν *rell* ¦ λαλητωσαν [12%]

[m] ενα *rell* ¦ 1 εκαστοι [1%] CP

[n] αλλ **f**$^{35}$ (𝔓$^{46}$) [70%] TR ¦ αλλα ℵA,B,C [30%] HF,RP,OC,CP,NU

[o] υμων **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B [3%] NU

[p] επιτετραπται **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ επιτρεπεται ℵB [3%] NU ¦ επιτρεπετε A [1%] ¦ επιτετρεπται [2%]

[q] αυταις *rell* ¦ αυτοις [2%] CP

[r] υποτασσεσθαι **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ υποτασσεσθωσαν ℵ(A)B [2%] NU

[s] θελουσιν *rell* ¦ εθελουσιν [2%] CP

[t] γυναιξιν **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ γυναικι 𝔓$^{46}$ℵA,B [7%] NU

[u] γυναιξιν εν εκκλησια *rell* ¦ ~ 231 CP

[v] εν εκκλησια λαλειν **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ ~ 312 𝔓$^{46}$ℵA,B [3%] NU ¦ 1 εκκλησιαις 3 [10%]

**37** Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν ὅτι[w]
Κυρίου εἰσὶν ἐντολαί.[x] **38** Εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω.[y]

**39** Ὥστε, ἀδελφοί,[z] ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε.[a]
**40** Πάντα[b] εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

## About resurrection

### *A review*

**15:1** Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ
παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε· **2** δι᾽ οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν,
εἰ κατέχετε—ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. **3** Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ
παρέλαβον· ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, **4** καὶ
ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ[c] κατὰ τὰς Γραφάς, **5** καὶ ὅτι ὤφθη Κηφᾷ,
εἶτα[d] τοῖς δώδεκα. **6** Ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ
πλείους[e] μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ[f] ἐκοιμήθησαν. **7** Ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα[g]
τοῖς ἀποστόλοις πᾶσιν. **8** Ἔσχατον δὲ πάντων, ὡσπερεὶ τῷ ἐκτρώματι, ὤφθη κἀμοί.
**9** Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,
διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. **10** Χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις
αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη· ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα—οὐκ
ἐγὼ δέ, ἀλλ᾽[h] ἡ χάρις τοῦ Θεοῦ ἡ[i] σὺν ἐμοί. **11** Εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτως
κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

### *Resurrection is a fact*

**12** Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσίν τινες ἐν ὑμῖν[j]
ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; **13** Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς
ἐγήγερται. **14** Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα[k] τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ[l]
καὶ ἡ πίστις ὑμῶν.[m] **15** Εὑρισκόμεθα δὲ καὶ[n] ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι

---

[w] οτι **f**$^{35}$ 𝔓$^{46}$ℵA,B [92%] HF,RP,CP,NU ¦ 1 του [8%] OC,TR

[x] εισιν εντολαι **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ εστιν εντολη 𝔓$^{46}$A,B,048 [2%] NU ¦ ~ 21 [1%] ¦ εστιν [1%] ¦ 1 αι 2 [2%] ¦ εντολη εστιν ℵ

[y] αγνοειτω **f**$^{35}$ 𝔓$^{46}$B [89.5%] HF,RP,OC,TR,CP ¦ αγνωειτω [6%] ¦ αγνοειται ℵA,048 [1.5%] NU ¦ five more spellings [3%]

[z] αδελφοι **f**$^{35}$ 𝔓$^{46}$ [80%] HF,RP,OC,TR ¦ 1 μου ℵA,B,048 [20%] CP[NU]

[a] γλωσσαις μη κωλυετε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 231 ℵ(A)048 [2%] NU ¦ ~ 23 εν 1 𝔓$^{46}$(B) ¦ εν 123 [1%]

[b] παντα **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 1 δε 𝔓$^{46}$ℵA,B [7%] NU

[c] τη τριτη ημερα **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ ~ 1312 𝔓$^{46}$ℵA,B [3%] NU

[d] ειτα *rell* ¦ επειτα [10%]

[e] πλειους **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ πλειονες (ℵ)A,B [5%] NU

[f] και **f**$^{35}$ 048 [98%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [2%] NU

[g] ειτα **f**$^{35}$ B [65%] HF,RP,OC,TR,NU ¦ επειτα 𝔓$^{46}$ℵA,048 [35%] CP

[h] αλλ *rell* ¦ αλλα ℵA,B [1%] NU

[i] η **f**$^{35}$ (𝔓$^{46}$)A [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- ℵB,0270 [2%]

[j] τινες εν υμιν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ ~ 321 (𝔓$^{46}$)ℵA,B,C [4%] NU

[k] αρα **f**$^{35}$ 𝔓$^{46}$B [70%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA [30%] [NU]

[l] δε **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$ℵA,B [3%] NU

[m] υμων *rell* ¦ ημων B [25%]

[n] και *rell* ¦ 1 ημεις CP

ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα
νεκροὶ οὐκ ἐγείρονται. **16** Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται.
**17** Εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις
ὑμῶν. **18** Ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. **19** Εἰ ἐν τῇ ζωῇ ταύτῃ
ἠλπικότες ἐσμὲν ἐν Χριστῷ[o] μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

*The sequence of events*

**20** Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο.[p]
**21** Ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ[q] θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν.
**22** Ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες
ζωοποιηθήσονται. **23** Ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ[r]
Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· **24** εἶτα τὸ τέλος, ὅταν παραδῷ[s] τὴν βασιλείαν τῷ
Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.
**25** Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις[t] οὗ ἂν[u] θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας
αὐτοῦ. **26** Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. **27** «Πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς
πόδας αὐτοῦ.» Ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος
αὐτῷ τὰ πάντα. **28** Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα,[v] τότε καὶ[w] αὐτὸς ὁ Υἱὸς
ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ[x] πάντα ἐν πᾶσιν.

*Consequences of denial*

**29** Ἐπεί, τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; Εἰ ὅλως νεκροὶ οὐκ
ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν;[y] **30** Τί καὶ ἡμεῖς κινδυνεύομεν[z]
πᾶσαν ὥραν; **31** Καθ᾽ ἡμέραν ἀποθνήσκω—νὴ τὴν ὑμετέραν[a] καύχησιν[b] ἣν ἔχω ἐν
Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. **32** Εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί
μοι τὸ ὄφελος; Εἰ νεκροὶ οὐκ ἐγείρονται, «Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ
ἀποθνήσκομεν.» **33** Μὴ πλανᾶσθε· φθείρουσιν ἤθη χρηστὰ[c] ὁμιλίαι κακαί.
**34** Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσιν. Πρὸς
ἐντροπὴν ὑμῖν[d] λέγω.[e]

---

[o] ηλπικοτες εσμεν εν χριστω **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ~ 3412 𝔓$^{46}$אA,B [5%] NU
[p] εγενετο **f**$^{35}$ (93.7%) HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B (6.3%) NU
[q] ο **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B [3%] NU
[r] του **f**$^{35}$ 𝔓$^{46}$אA,B [95%] HF,RP,CP,NU ¦ --- [5%] OC,TR
[s] παραδω **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ παραδιδω 𝔓$^{46}$אA,0270 [3%] NU ¦ παραδιδοι B [1%]
[t] αχρις **f**$^{35}$ [98%] HF,OC,TR,CP ¦ αχρι 𝔓$^{46}$אA,B [2%] RP,NU
[u] αν **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ --- 𝔓$^{46}$אA,B [3%] NU
[v] οταν δε υποταγη αυτω τα παντα *rell* ¦ --- א [15%] [homoioteleuton]
[w] και **f**$^{35}$ אA [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- B [2%]
[x] τα **f**$^{35}$ א [98%] HF,RP,OC,TR,CP[NU] ¦ --- A,B [2%]
[y] των νεκρων **f**$^{35}$ [77%] HF,RP,OC,TR,CP ¦ αυτων 𝔓$^{46}$אA,B [9%] NU ¦ αυτων 12 [5%] ¦ omit 3 or 4 words [9%]
[z] κινδυνευομεν *rell* ¦ 1 κατα [3%] CP
[a] υμετεραν *rell* ¦ ημετεραν A [15%]
[b] καυχησιν **f**$^{35}$ 𝔓$^{46}$ (92.1%) HF,RP,OC,TR,CP ¦ 1 αδελφοι אA,B (7.9%) [NU]
[c] χρηστα **f**$^{35}$ 𝔓$^{46}$אA,B [95%] HF,RP,OC,NU ¦ χρησθ [2%] TR ¦ χριστα [3%] CP
[d] υμιν *rell* ¦ υμων [11%] CP
[e] λεγω **f**$^{35}$ A [85%] HF,RP,OC,TR,CP ¦ λαλω 𝔓$^{46}$אB [15%] NU

## *A philosophical objection*

**35** Ἀλλ’[f] ἐρεῖ τις, «Πῶς ἐγείρονται οἱ νεκροί; Ποίῳ δὲ σώματι ἔρχονται;»
**36** Ἄφρον,[g] σὺ ὃ σπείρεις οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ. **37** Καὶ ὃ σπείρεις, οὐ τὸ
σῶμα τὸ γενησόμενον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον (εἰ τύχοι σίτου ἤ τινος τῶν
λοιπῶν). **38** Ὁ δὲ Θεὸς αὐτῷ δίδωσιν[h] σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν
σπερμάτων τὸ[i] ἴδιον σῶμα. **39** Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλὰ ἄλλη μὲν[j]
ἀνθρώπων,[k] ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πτηνῶν.[l] **40** Καὶ σώματα
ἐπουράνια καὶ σώματα ἐπίγεια· ἀλλ’[m] ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ
τῶν ἐπιγείων. **41** Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων·
ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

**42** Οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν· σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν
ἀφθαρσίᾳ· **43** σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ· σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται
ἐν δυνάμει· **44** σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν.[n] Ἔστιν σῶμα
ψυχικὸν καὶ ἔστιν σῶμα[o] πνευματικόν.

**45** Οὕτως καὶ γέγραπται· «Ἐγένετο ὁ πρῶτος ἄνθρωπος, Ἀδάμ, εἰς ψυχὴν ζῶσαν»·
ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν. **46** Ἀλλ’ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ
ψυχικόν, ἔπειτα τὸ πνευματικόν. **47** Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς, χοϊκός· ὁ δεύτερος
ἄνθρωπος ὁ Κύριος[p] ἐξ οὐρανοῦ. **48** Οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ
ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. **49** Καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ
χοϊκοῦ, φορέσωμεν[q] καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

## *Our turn is coming*

**50** Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ
δύνανται·[r] οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. **51** Ἰδού, μυστήριον ὑμῖν λέγω·
Πάντες μὲν οὐ κοιμηθησόμεθα,[s] πάντες δὲ ἀλλαγησόμεθα **52** —ἐν ἀτόμῳ, ἐν ῥιπῇ
ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι—σαλπίσει γὰρ καὶ οἱ νεκροὶ ἐγερθήσονται
ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. **53** Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι
ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. **54** Ὅταν δὲ τὸ φθαρτὸν
τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε

---

[f] αλλ *rell* ¦ αλλα B [1%] NU

[g] αφρον **f**$^{35}$ [85%] HF,RP,OC,TR,CP ¦ αφρων 𝔓$^{46}$ℵA,B [15%] NU

[h] αυτω διδωσιν **f**$^{35}$ [81%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$ℵA,B [9%] NU ¦ αυτο 2 [10%]

[i] το **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ --- ℵA,B,I$^{v}$ [5%] NU

[j] μεν *rell* ¦ 1 σαρξ TR

[k] [Human meat is not the same as animal meat!]

[l] ιχθυων αλλη δε πτηνων (πετεινων OC) **f**$^{35}$ [96%] HF,RP(OC)TR,CP ¦ ~ 4231 A [1%] ¦ ~ σαρξ 4 (πετηνων 𝔓$^{46}$) 231 (𝔓$^{46}$)ℵB [3%] NU

[m] αλλ *rell* ¦ αλλα 𝔓$^{46}$A,B [1%] NU

[n] πνευματικον **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 1 ει 𝔓$^{46}$ℵA,B,C [4%] NU

[o] και εστιν σωμα **f**$^{35}$ [82%] HF,RP,OC,TR,CP ¦ ~ 21 𝔓$^{46}$ℵA,B,C [4%] NU ¦ omit seven words [14%] [homoioteleuton]

[p] ο κυριος **f**$^{35}$ A (97.5%) HF,RP,OC,TR,CP ¦ --- ℵB,C (2.4%) NU ¦ πνευματικος 𝔓$^{46}$

[q] φορεσωμεν **f**$^{35}$ (𝔓$^{46}$)ℵA,C [82%] HF,RP,CP ¦ φορεσομεν B,I [18%] OC,TR,NU

[r] δυνανται **f**$^{35}$ A,C [92%] HF,RP,OC,TR,CP ¦ δυναται ℵB [6%] NU ¦ δυνατε [2%]

[s] μεν ου κοιμηθησομεθα **f**$^{35}$ (96.4%) HF,RP,OC,TR,CP ¦ 23 B (0.3%) NU ¦ 232 𝔓$^{46}$ ¦ 13 (0.3%) ¦ ~ 132 ℵA (0.7%) ¦ ~ 32 C (0.5%) ¦ 1 ουν 3 (0.5%) ¦ ~ 1 ουν 32 (0.3%) ¦ three other readings (0.5%)

γενήσεται ὁ λόγος ὁ γεγραμμένος· «Κατεπόθη ὁ θάνατος εἰς νῖκος.» **55** «Ποῦ σου,
Θάνατε, τὸ κέντρον; Ποῦ σου, ᾍδη, τὸ νῖκος;»[t] **56** Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ
ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος.

**57** Τῷ δὲ Θεῷ χάρις τῷ διδόντι[u] ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ. **58** Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι,
περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν
κενὸς ἐν Κυρίῳ.

## Concluding topics

### *About a special collection*

**16:1** Περὶ δὲ τῆς λογίας[v] τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς
Γαλατίας, οὕτως καὶ ὑμεῖς ποιήσατε. **2** Κατὰ μίαν σαββάτων,[w] ἕκαστος ὑμῶν παρ᾿
ἑαυτῷ τιθέτω, θησαυρίζων ὅ τι ἂν[x] εὐοδοῦται,[y] ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι[z]
γίνωνται.[a] **3** Ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε δι᾿ ἐπιστολῶν, τούτους
πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἱερουσαλήμ.[b] **4** Ἐὰν δὲ ᾖ ἄξιον[c] τοῦ κἀμὲ
πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

### *Personal plans*

**5** Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν[d] διέλθω (Μακεδονίαν γὰρ
διέρχομαι). **6** Πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ, ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με
προπέμψητε,[e] οὗ ἐὰν πορεύωμαι.[f] **7** Οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω
δὲ[g] χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ.[h] **8** Ἐπιμενῶ δὲ ἐν
Ἐφέσῳ ἕως τῆς Πεντηκοστῆς, **9** θύρα γάρ μοι ἀνέῳγεν μεγάλη καὶ ἐνεργής, καὶ
ἀντικείμενοι πολλοί.

### *This and that*

**10** Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς, τὸ γὰρ ἔργον
Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ.[i] **11** Μή τις οὖν αὐτὸν ἐξουθενήσῃ·[j] προπέμψατε δὲ
αὐτὸν ἐν εἰρήνῃ, ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν.

---

[t] κεντρον που σου αδη το νικος **f**$^{35}$ (95.1%) HF,RP,OC,TR,CP ¦ ~ 623451 (2.9%) ¦ 123 θανατε 56 (0.5%) ¦ ~ 623 θανατε 51 ($\mathfrak{P}^{46}$)ℵ(B)C,088 (1.2%) NU ¦ two other readings A (0.3%)

[u] διδοντι *rell* ¦ δοντι $\mathfrak{P}^{46}$ [35%] ¦ two other readings [2%]

[v] λογιας *rell* ¦ λογειας NU ¦ ευλογιας [7%]

[w] σαββατων **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ σαββατω ℵ ¦ σαββατου A,B,C,I [2%] NU ¦ σαββατον [6%]

[x] αν **f**$^{35}$ ℵA,C [99.5%] HF,RP,OC,TR ¦ εαν B [0.5%] CP,NU

[y] ευοδουται **f**$^{35}$ [30%] ¦ ευοδωται ℵB [61%] HF,RP,OC,TR,CP,NU ¦ ευοδωθη A,C,088 [3%] ¦ ευωδωτε [6%]

[z] λογιαι *rell* ¦ λογειαι $\mathfrak{P}^{46}$ NU

[a] γινωνται *rell* ¦ γινονται ($\mathfrak{P}^{46}$) [15%] CP

[b] ἱερουσαλημ *rell* ¦ ἰερουσαλημ HF,NU

[c] η αξιον **f**$^{35}$ ℵ [96%] HF,RP,OC,TR,CP ¦ ~ 21 $\mathfrak{P}^{46}$A,B,C,088 [4%] NU

[d] μακεδονιαν *rell* ¦ μακεδωνιαν CP (Also the next occurrence.)

[e] προπεμψητε *rell* ¦ προπεμψηται A [10%]

[f] πορευωμαι *rell* ¦ πορευομαι [11%] ¦ πορευσωμαι [4%]

[g] δε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ γαρ $\mathfrak{P}^{46}$ℵA,B,C,088 [4%] NU

[h] επιτρεπη **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ επιτρεψη $\mathfrak{P}^{46}$ℵA,B,C [3%] NU

[i] και εγω **f**$^{35}$ [79%] HF,RP,TR,CP ¦ 2 $\mathfrak{P}^{46}$B [1%] ¦ καγω ℵA,C [20%] OC,NU

[j] εξουθενηση *rell* ¦ εξουθενησει [12%] CP

**12** Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ· πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς
μετὰ τῶν ἀδελφῶν, καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ· ἐλεύσεται δὲ ὅταν
εὐκαιρήσῃ.

**13** Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. **14** Πάντα ὑμῶν ἐν
ἀγάπῃ γινέσθω.

**15** Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί (οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς
Ἀχαΐας, καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς), **16** ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε
τοῖς τοιούτοις,[k] καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. **17** Χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ
Στεφανᾶ καὶ Φουρτουνάτου[l] καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν[m] ὑστέρημα οὗτοι
ἀνεπλήρωσαν· **18** ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν· ἐπιγινώσκετε οὖν
τοὺς τοιούτους.

### *Final greetings*

**19** Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. Ἀσπάζονται[n] ὑμᾶς ἐν Κυρίῳ πολλὰ
Ἀκύλας καὶ Πρίσκιλλα,[o] σὺν τῇ κατ᾽ οἶκον αὐτῶν ἐκκλησίᾳ. **20** Ἀσπάζονται ὑμᾶς οἱ
ἀδελφοὶ πάντες. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.

**21** Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί, Παύλου. **22** Εἴ τις οὐ φιλεῖ τὸν Κύριον ἡμῶν[p]
Ἰησοῦν Χριστόν,[q] ἤτω ἀνάθεμα. Μαραναθά.

**23** Ἡ χάρις τοῦ Κυρίου[r] Ἰησοῦ Χριστοῦ[s] μεθ᾽ ὑμῶν. **24** Ἡ ἀγάπη μου μετὰ πάντων
ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Ἀμήν.[t,u]

---

[k] τοιουτοις *rell* ¦ τιουτοις CP
[l] φουρτουνατου **f**$^{35}$ [85%] HF,RP,OC,TR,CP ¦ φορτουνατου 𝔓$^{46}$אA,B,C [15%] NU
[m] υμων **f**$^{35}$ 𝔓$^{46}$אA [98%] HF,RP,OC,TR,CP ¦ υμετερον B,C [2%] NU
[n] ασπαζονται **f**$^{35}$ 𝔓$^{46}$B [96%] HF,RP,OC,TR,CP ¦ ασπαζεται אC [2%] NU,some TRs ¦ four other readings [2%] ¦ A omits the whole verse [homoioteleuton]
[o] πρισκιλλα **f**$^{35}$ C [98%] HF,RP,OC,TR,CP ¦ πρισκα אB [1.5%] NU ¦ πρεισκας 𝔓$^{46}$ ¦ --- A see above
[p] ημων **f**$^{35}$ [58%] ¦ --- אA,B,C [42%] HF,RP,OC,TR,CP,NU
[q] ιησουν χριστον **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ --- אA,B,C [2%] NU
[r] κυριου **f**$^{35}$ אB,C [70%] HF,RP,OC,TR,CP,NU ¦ 1 ημων A [30%]
[s] χριστου **f**$^{35}$ A,C [97%] HF,RP,OC,TR,CP ¦ --- אB [3%] NU
[t] αμην **f**$^{35}$ אA,C [98%] HF,RP,OC,TR,CP ¦ --- B [2%] NU
[u] The citation of **f**$^{35}$ is based on thirty-four MSS—18, 35, 141, 201, 204, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1249, 1503, 1548, 1637, 1761, 1855, 1864, 1865, 1892, 1897, 2080, 2352, 2431, 2466, 2554, 2587, 2723 and 2817—all of which I collated myself. 2554 is a 'perfect' representative of **f**$^{35}$ in 1 Corinthians, as it stands. 2723 has three variations from the presumed archetype, 35 also has three (but 35's exemplar only had one), 18 has five (but its exemplar only had two); the exemplar of 141 had one, that of 2466 had three, and so on. For a book this size the uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Aegean, Bucharest, Constantinople, Trikala, Meteora, Athens, Mt. Athos [eight different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: 1 Corinthians* [Ed. Reuben Swanson, Carol Stream, IL: Tyndale House Publishers, 2005]). For 1 Corinthians Swanson collated 83 MSS, six being fragmentary (for any given variant set there will usually be at least 75 MSS listed), and I occasionally supplemented from Scrivener and

von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±2%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±10%—by comparing Swanson with *TuT*, I believe one can make a fairly accurate extrapolation. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.